42. Ἐν δὲ τοῖς φυτοῖς ἐστὶ τὰ μακροβιώτατα καὶ μᾶλλον ἢ ἐν τοῖς ζῴοις· πρῶτον μὲν ὅτι ἧττον ὑδατώδη ὥστ' οὐκ εὔπηκτα· εἶτ' ἔχει λιπαρότητα καὶ γλισχρότητα, καὶ ξηρὰ καὶ γεώδη ὄντα ὅμως οὐκ εὐξήραντον ἔχει [1]) τὸ ὑγρόν.

1) ἔχουσι MPSZ Ald. Cam. Er. Eph.

Juv. et Sen. c. 4. p. 469. b.

43. Ἀνάγκη τοίνυν ἅμα τό τε ζῆν ὑπάρχειν καὶ τὴν τοῦ θερμοῦ [1]) σωτηρίαν, καὶ τὸν καλούμενον θάνατον εἶναι τὴν τούτου φθοράν.

1) τούτου ins. Eph.

§ 44.

Mors naturalis plantarum est arefactio.

Respir. c. 17. p. 478. b.

Θάνατός δ' ἐστὶν ὁ μὲν βίαιος ὁ δὲ κατὰ φύσιν, βίαιος μὲν ὅταν ἡ ἀρχὴ ἔξωθεν ᾖ, κατὰ φύσιν δ' ὅταν ἐν αὐτῷ καὶ ἡ τοῦ μορίου σύστασις ἐξ ἀρχῆς τοιαύτη [1]) ἀλλὰ μὴ ἐπίκτητόν τι πάθος· τοῖς μὲν οὖν φυτοῖς αὔανσις, ἐν δὲ τοῖς ζῴοις καλεῖται τοῦτο γῆρας, ἔστιν δὲ θάνατος καὶ ἡ φθορὰ πᾶσιν ὁμοίως τοῖς μὴ ἀτελέσι, τούτοις δὲ παρομοίως μὲν ἄλλον δὲ τρόπον· ἀτελῆ δὲ λέγω οἷον τά τε ᾠὰ καὶ τὰ σπέρματα τῶν φυτῶν ὅσα ἄρριζα [2]). πᾶσι μὲν οὖν ἡ φθορὰ γίνεται διὰ θερμότητος [3]) ἔκλειψιν, τοῖς δὲ τελείοις ἐν ᾧ τῆς οὐσίας ἡ ἀρχή· αὕτη δ' ἐστίν, ὥσπερ εἴρηται πρότερον, ἐν ᾧ τό τε ἄνω καὶ τὸ κάτω συνάπτει, τοῖς μὲν φυτοῖς μέσον βλαστοῦ καὶ ῥίζης, τῶν δὲ ζῴων τοῖς μὲν ἐναίμοις ἡ καρδία, τοῖς δ' ἀναίμοις τὸ ἀνάλογον.

1) τοιαύτης LS. 2) ἄριζα Ald. Cam. Er. Eph. 3) Sic apud Ephes.; θερμοῦ Ald. Cam. Er.; θερμοῦ τινὸς Bekk.

§ 45.

Causae mortis arborum.

Juv. et Sen. c. 6. p. 470. a.

Τοῖς μὲν φυτοῖς ἡ διὰ τῆς τροφῆς καὶ τοῦ περιέχοντος ἱκανὴ γίνεται βοήθεια πρὸς τὴν τοῦ φυσικοῦ θερμοῦ σωτηρίαν· καὶ γὰρ ἡ τροφὴ ποιεῖ κατάψυξιν εἰσιοῦσα . . . ἐὰν [1]) δὲ ᾖ τὸ περιέχον ὑπερβάλλῃ ψυ-

χρότητι διὰ τὴν ὥραν ἰσχυρῶν γινομένων [2] πάγων, ἐξαναίνεται, ἢ τοῦ θέρους ἰσχυρὰ συμβαίνῃ [3] καύματα καὶ μὴ δύνηται τὸ σπώμενον ἐκ τῆς γῆς ὑγρὸν καταψύχειν, φθείρεται μαραινόμενον τὸ θερμὸν, καὶ λέγεται σφακελίζειν καὶ ἀστρόβλητα γίνεσθαι τὰ δένδρα περὶ [4] τοὺς καιροὺς τούτους.

1) ἂν L Ald. Cam. Er. 2) τῶν inser. Ald. Cam. Er. Eph. 3) συμβαίνει iidem. 4) κατὰ iidem.

CAPUT SEXTUM.

De plantarum compositione et fabrica, partibus et organis.

§ 46.

Omnia naturalia corpora terrae et aquae participia sunt.

Εἰσὶ δ' αἱ μὲν ἀρχαί τῶν σωμάτων αἱ παθητικαὶ ὑγρὸν καὶ ξηρὸν, τὰ δ' ἄλλα μικτὰ μὲν ἐκ τούτων, ὁποτέρου δὲ μᾶλλον, τούτου μᾶλλον τὴν φύσιν ἐστίν, οἷον τὰ μὲν ξηροῦ μᾶλλον τὰ δ' ὑγροῦ. . . . . λέγεται δὲ τῶν στοιχείων ἰδιαίτατα ξηροῦ μὲν γῆ ὑγροῦ δὲ ὕδωρ [1]. διὰ τοῦτο ἅπαντα τὰ ὡρισμένα σώματα ἐνταῦθα οὐκ ἄνευ γῆς καὶ ὕδατος· ὁποτέρου δὲ πλεῖον, κατὰ τὴν δύναμιν τούτου ἕκαστον φαίνεται.

Meteor. IV. c. 4. p. 381. b. — p. 382. a.

1) ξηρὸν μὲν γῆς ὑγρὸν δὲ ὕδατος Ald. Cam. Er. Al. Aph. cont. Olymp. cont.; ξηρὸν μὲν γῆς F; ξηροῦ μὲν ἡ γῆ N; ὑγρῷ F; δὲ τὸ ὕδωρ N; sicci quidem terra humidi autem aqua Lat. Mart. Vers. Bern. Sic etiam Al. Aph. legit, cum dicat: γῆ μὲν γὰρ κατὰ τὸ ξηρόν· ὕδωρ δὲ κατὰ τὸ ὑγρόν.

§ 47 - 49.

Plantae è terrà maxime constant, terraeque tanquam propria sunt.

Διὰ δὲ τὸ τοῖς φυτοῖς ἀντίστροφον ἔχειν τὴν φύσιν, διὰ τοῦτο ἐν μὲν τῇ γῇ τῶν ὀστρακοδέρμων οὐδὲν ἢ

Gen Anim. III. c. 11. p. 761. a.

Digitized by Google

μικρόν τι γίγνεται[1] γένος . . . ἐν δὲ τῇ θαλάττῃ καὶ τοῖς ὁμοίοις ὑγροῖς πολλὰ καὶ παντοδαπὴν ἔχοντα μορφήν. .τὸ δὲ τῶν φυτῶν γένος ἐν μὲν τῇ θαλάττῃ καὶ τοῖς τοιούτοις[2] μικρὸν καὶ πάμπαν ὡς εἰπεῖν οὐδὲν ἐν δὲ τῇ γῇ τὰ τοιαῦτα γίνεται πάντα. τὴν γὰρ φύσιν ἀνάλογον ἔχει καὶ διέστηκεν ὅσῳ[3] ζωτικώτερον τὸ ὑγρὸν ξηροῦ καὶ γῆς ὕδωρ, τοσοῦτον[4] ἡ τῶν ὀστρακοδέρμων φύσις τῆς τῶν φυτῶν· ἐπεὶ βούλεταί γε ὡς τὰ φυτὰ πρὸς τὴν γῆν οὕτως ἔχειν τὰ ὀστρακόδερμα πρὸς τὸ ὑγρόν, ὡς ὄντα τὰ μὲν φυτὰ ὡσπερανεὶ ὄστρεα χερσαῖα, τὰ δὲ ὄστρεα ὡσπερανεὶ φυτὰ ἔνυδρα. διὰ τοιαύτην δ' αἰτίαν καὶ πολύμορφα τὰ ἐν τῷ ὑγρῷ μᾶλλόν ἐστι τῶν ἐν τῇ γῇ. τό τε γὰρ ὑγρὸν εὐπλαστοτέραν ἔχει τὴν φύσιν τῆς γῆς καὶ σωματικὴν οὐ πολλῷ ἧττον· καὶ μάλιστα
p. 761. b. τὸ ἐν τῇ θαλάττῃ τοιοῦτο[5]. . . . . τὰ μὲν γὰρ φυτὰ θείη ἄν τις γῆς, ὕδατος δὲ τὰ ἔνυδρα, τὰ δὲ πεζὰ ἀέρος.

1) τι om. SY; τι γίγνεται om. Ald. Cam. Er. Philop. 2) ποταμοῖς Z. 3) δὲ inser. PSY Ald. Cam. Er. Philop.; ζωτικὸν Z. 4) τοσούτῳ Ald. Cam. Philop. τοσούτῳ Er. 5) σωματικήν· οὐ πολλῷ δ' ἧττον καὶ μάλιστα ἐν τῇ θαλάττῃ ταῦτα Ald. Cam. Er. Philop.; δὲ post πολλῷ habent PSY iidemque τὰ ante ἐν omittunt; ταῦτα Y; Bekk.: σωματικὴν οὐ πολλῷ ἧττον· καὶ μάλιστα τὰ ἐν τῇ θαλάττῃ τοιαῦτα, quae lectio e cod. Z expressa videtur. In lectione impressorum offendit οὐ πολλῷ ἧττον quod ante μάλιστα, nisi huic particula epanorthotica sit adiuncta, ferri nequit. ταῦτα Philoponus vult esse τὸ εὔπλαστον καὶ σωματῶδες; at sic neque Aristotelem neque hominem graecum locutum esse dixerim. Bekkerus verba οὐ πολλῷ ἧττον optime cum praecedentibus coniunxit; confer. Meteorolog. II. c. 3. Quae vero sint τὰ ἐν τῇ θαλάττῃ non video. Lectionis a Bekkero exhibitae leni mutatione visus sum mihi hunc locum emendavisse; scripsi enim τὸ et τοιοῦτο pro τὰ et τοιαῦτα, ut et structura et sensu cum praecedentibus et sequentibus bene cohaereat, et ea sententia proferatur quae hic proferri et apte poterat et debebat. τὸ est τὸ ὑγρόν, τοιοῦτο est εὔπλαστον καὶ σωματικόν; pergit enim explicare naturam aquae potibilis fluviorum et lacuum, quae minus est σωματώδης.

Digitized by Google

48. *Τὰ μὲν γὰρ ἐκ γῆς πλείονος γέγονεν, οἷον τὸ τῶν φυτῶν γένος, τὰ δ' ἐξ ὕδατος οἷον τὸ τῶν ἐνύδρων· τῶν δὲ πτηνῶν καὶ πεζῶν τὰ μὲν ἐξ ἀέρος τὰ δ' ἐκ πυρός. ἕκαστα δ' ἐν τοῖς οἰκείοις τόποις ἔχει τὴν τάξιν*[1] *αὐτῶν.* Respirat. c. 13. B. p. 477. a

1) *αὔξησιν* S.

49. *Ἐι οὖν ὕλη πᾶσι τοῖς σώμασι τὸ ὑγρὸν καὶ τὸ ξηρόν, εὐλόγως τὰ μὲν ἐξ ὑγροῦ καὶ ψυχροῦ συστάντα ἐν ὑγροῖς ἐστί. καὶ εἰ ψυχρά, ἔσται ἐν ψυχρῷ, τὰ δ' ἐκ ξηροῦ ἐν ξηρῷ. διὰ τοῦτο τὰ δένδρα οὐκ ἐν ὕδατι φύεται ἀλλ' ἐν τῇ*[1] *γῇ.* Respirat. c. 14. B. p. 477. b.

1) *τῇ* om. PS Ald. Cam. Er. Eph.

§ 50.

Ex elementis fiunt partes similares, e his dissimilares.

Ἐκ μὲν γὰρ τῶν στοιχείων τὰ ὁμοιομερῆ, ἐκ τούτων δ' ὡς ὕλης τὰ ὅλα ἔργα τῆς φύσεως. Meteor. IV. c. 12. p. 389. b.

§ 51.

Similares partes in plantis constant e terra et aqua.

Ἐκ δὲ τούτων φανερὸν ὅτι ὑπὸ θερμοῦ καὶ ψυχροῦ συνίσταται τὰ σώματα, ταῦτα δὲ[1] *παχύνοντα καὶ πηγνύντα ποιεῖται*[2] *τὴν ἐργασίαν αὐτῶν. διὰ δὲ τὸ ὑπὸ τούτων δημιουργεῖσθαι ἐν ἅπασι μὲν*[3] *ἐστι θερμότης, τισὶ δὲ καὶ ψυχρότης ᾗ*[4] *ἐκλείπει. ὥστ' ἐπεὶ ταῦτα μὲν ὑπάρχει διὰ τὸ ποιεῖν ὑγρὸν δὲ καὶ ξηρὸν διὰ τὸ πάσχειν, μετέχει*[5] *αὐτῶν τὰ κοινὰ πάντων. ἐκ μὲν οὖν ὕδατος καὶ γῆς τὰ ὁμοιομερῆ σώματα συνίσταται καὶ ἐν φυτοῖς καὶ ἐν*[6] *ζώοις, καὶ τὰ μεταλλευόμενα, οἷον χρυσὸς καὶ ἄργυρος καὶ ὅσα ἄλλα τοιαῦτα, ἐξ αὐτῶν τε καὶ*[7] *τῆς ἀναθυμιάσεως τῆς ἑκατέρου ἐγκατακλειομένης, ὥσπερ εἴρηται ἐν ἄλλοις.* Meteor. IV. c. 8. p. 384. b.

1) *καὶ* ins. F; *διαξηραίνοντα καὶ* ins. Cam.; *ξηραίνοντα* habet etiam Al. Aph. in comm. 2) *ποιεῖ* FN. 3) *ἅπασιν ἐστὶ* Ald. Er.; *ἅπασιν μέν ἐστι* Cam.; *μὲν* om. EHN. 4) *ἢ* Ald. 5) *μετέχειν* E Idel. 6) om. E Idel. 7) *ἐκ* ins. Cam.

Digitized by Google

§. 52. 53.

E similaribus partibus constant dissimilares, ut cortex lignum folia, radix.

Meteor. IV. c. 10. p. 388. a. *Τούτοις δὲ τοῖς παθήμασι καὶ ταύταις ταῖς διαφοραῖς τὰ ὁμοιομερῆ τῶν σωμάτων, ὥςπερ εἴρηται, διαφέρει ἀλλήλων κατὰ τὴν ἁφὴν καὶ ἔτι ὀσμαῖς καὶ χυμοῖς καὶ χρώμασι. λέγω δ' ὁμοιομερῆ* [1] *τά τε μεταλλευόμενα, οἷον* [2] *χρυσὸν χαλκὸν ἄργυρον καττίτερον σίδηρον λίθον καὶ τἄλλα τὰ τοιαῦτα, καὶ ὅσα ἐκ τούτων γίγνεται ἐκκρινόμενα, καὶ τὰ ἐν τοῖς ζώοις καὶ φυτοῖς, οἷον σάρκες ὀστᾶ νεῦρον δέρμα σπλάγχνον τρίχες ἶνες φλέβες, ἐξ ὧν ἤδη συνέστηκε τὰ ἀνομοιομερῆ, οἷον πρόςωπον χεὶρ ποὺς καὶ τἄλλα τὰ τοιαῦτα, καὶ ἐν* [3] *φυτοῖς ξύλον φλοιὸς φύλλον ῥίζα καὶ ὅσα τοιαῦτα. ἐπεὶ δὲ ταῦτα μὲν ὑπ' ἄλλης αἰτίας συνέστηκεν* [4]*, ἐξ ὧν δὲ ταῦτα ὕλη μὲν τὸ ξηρὸν καὶ ὑγρὸν, ὥστε ὕδωρ καὶ γῆ — ταῦτα γὰρ προφανεστάτην ἔχει τὴν δύναμιν ἑκάτερον ἑκατέρου —, τὰ δὲ ποιοῦντα τὸ θερμὸν καὶ τὸ ψυχρὸν — ταῦτα γὰρ συνίστησι καὶ πήγνυσι ἐξ ἐκείνων* [5] *—, λάβωμεν* [6] *τῶν ὁμοιομερῶν ποῖα γῆς εἴδη καὶ ποῖα ὕδατος καὶ ποῖα κοινά.*

1) *οἷον* inser. hic. et om. ante *χρυσὸν* Ald. Cam. Er. N. Al. Aph. et Lat. Mart. Vers. Bern.; *ὄντα ὧν* H. 2) om. FH. 3) *τοῖς* ins. Ald. Cam. Er. Al. Aph. 4) *συνέστηκε* Cam.; *συνέσταται* Ald. Er. Al. Aph. cont. sed in comm. *συνέστηκε*. 5) *ἐκεῖνα* add. Ald. Cam. Er. Al. Aph., abest a Lat. Mart. Vers. Bern. 6) *λάβομεν* Cam.

Part. Anim. II. c. 1. p. 646. a. 53. *Ὑγρὸν γὰρ καὶ ξηρὸν καὶ θερμὸν καὶ ψυχρὸν* [1] *ὕλη τῶν συνθέτων σωμάτων ἐστίν· αἱ δ' ἄλλαι διαφοραὶ ταύταις* [2] *ἀκολουθοῦσιν, οἷον βάρος καὶ κουφότης καὶ πυκνότης καὶ μανότης καὶ τραχύτης καὶ λειότης καὶ τἄλλα* [3] *τὰ τοιαῦτα πάθη τῶν σωμάτων. δευτέρα δὲ σύστασις ἐκ τῶν πρώτων ἡ τῶν ὁμοιομερῶν* [4] *φύσις ἐν τοῖς ζώοις ἐστίν, οἷον ὀστοῦ καὶ σαρκὸς καὶ*

Digitized by Google

τῶν ἄλλων τῶν τοιούτων· τρίτη δὲ καὶ τελευταία κατ' ἀριθμὸν ἡ τῶν ἀνομοιομερῶν, οἷον προσώπου καὶ χειρὸς καὶ τῶν τοιούτων μορίων. ἐπεὶ δ' ἐναντίως ἐπὶ τῆς [5] γενέσεως ἔχει καὶ τῆς οὐσίας· τὰ γὰρ ὕστερα τῇ γενέσει [6] πρότερα τὴν φύσιν ἐστὶν καὶ πρῶτον τὸ τῇ γενέσει τελευταῖον· οὐ γὰρ οἰκία πλίνθων ἕνεκέν ἐστι καὶ λίθων ἀλλὰ ταῦτα τῆς οἰκίας· ὁμοίως δὲ τοῦθ' ἔχει [7] καὶ περὶ τὴν ἄλλην ὕλην. οὐ μόνον δὲ φανερὸν ὅτι τοῦτον ἔχει τὸν τρόπον ἐκ τῆς ἐπαγωγῆς ἀλλὰ καὶ κατὰ τὸν λόγον. πᾶν γὰρ τὸ γινόμενον ἔκ τινος καὶ εἴς τι ποιεῖται τὴν γένεσιν καὶ ἀπ' ἀρχῆς ἐπ' ἀρχήν, ἀπὸ τῆς πρώτης κινούσης καὶ ἐχούσης ἤδη τινὰ φύσιν ἐπί τινα μορφὴν ἢ τοιοῦτον ἄλλο τέλος· ἄνθρωπος γὰρ ἄνθρωπον καὶ φυτὸν γεννᾷ φυτὸν ἐκ τῆς περὶ ἕκαστον ὑποκειμένης ὕλης. τῷ μὲν οὖν χρόνῳ προτέραν τὴν ὕλην ἀναγκαῖον [8] εἶναι καὶ p. 646. b. τὴν γένεσιν τῷ λόγῳ δὲ τὴν οὐσίαν καὶ τὴν ἑκάστου μορφήν.

1) ὑγρὸν γὰρ ξηρὸν καὶ ψυχρὸν Ald. 2) τούτοις Ald. Cam. Er. 3) τ' ἄλλα Cam. 4) ὁμοιομερῶν Cam. 5) ταῖς Cam. 6) γενέσῃ Cam. 7) ἔχει τοῦτο Ald. Cam. Er. 8) ἀναγκαῖαν τὴν ὕλην iid.

§ 54.

Partes plantarum sunt organa sed valde simplicia.

Ὄργανα δὲ καὶ τὰ τῶν φυτῶν μέρη ἀλλὰ παντελῶς ἁπλᾶ, οἷον τὸ φύλλον περικαρπίου σκέπασμα τὸ δὲ περικάρπιον καρποῦ· αἱ δὲ ῥίζαι τῷ στόματι ἀνάλογον· ἄμφω γὰρ ἕλκει τὴν τροφήν. Anim. II. c. 1. p. 412. b.

§ 55.

Plantarum organa pauca quia paucae operationes.

Ἡ μὲν οὖν τῶν φυτῶν φύσις οὖσα μόνιμος οὐ πολυειδής ἐστι τῶν ἀνομοιομερῶν· πρὸς γὰρ ὀλίγας πράξεις ὀλίγων ὀργάνων ἡ χρῆσις· διὸ θεωρητέον καθ' αὑτὰ περὶ τῆς ἰδέας αὐτῶν. Part. Anim. II. c. 10. p. 655. b. 656.

Digitized by Google

§ 56.

Partes plantae habent certum magnitudinis modum, quia etiam tota.

Phys. I. c. 4. p. 187. b. Οὕτω γὰρ [1] εἰδέναι τὸ σύνθετον ὑπολαμβάνομεν [2], ὅταν εἰδῶμεν ἐκ τίνων καὶ πόσων ἐστίν. ἔτι δ' εἰ ἀνάγκη, οὗ τὸ μόριον ἐνδέχεται ὁπηλικονοῦν εἶναι κατὰ μέγεθος καὶ μικρότητα [3], καὶ αὐτὸ ἐνδέχεσθαι· λέγω δὲ τῶν τοιούτων τι μορίων, εἰς ὃ ἐνυπάρχον διαιρεῖται τὸ ὅλον. εἰ δὲ ἀδύνατον ζῷον ἢ φυτὸν ὁπηλικονοῦν εἶναι κατὰ μέγεθος καὶ μικρότητα, φανερὸν ὅτι οὐδὲ τῶν μορίων ὁτιοῦν· ἔσται γὰρ καὶ τὸ ὅλον ὁμοίως. σὰρξ δὲ καὶ ὀστοῦν καὶ τὰ τοιαῦτα μόρια ζώου καὶ οἱ καρποὶ τῶν φυτῶν.

1) ἅπαν ins. E. 2) λέγομεν Philop. 3) σμικρότητα Cam.; FI hic et infra.

§ 57.

Plantae sunt affixae, quod organum motus non habent.

Phys. VIII. c. 7. p. 261. a. Ὅλως δὲ φαίνεται τὸ γινόμενον ἀτελὲς καὶ ἐπ' ἀρχὴν ἰόν· ὥστε τὸ τῇ γενέσει ὕστερον τῇ φύσει πρότερον εἶναι. τελευταῖον δὲ φορὰ πᾶσιν ὑπάρχει τοῖς ἐν γενέσει. διὸ τὰ μὲν ὅλως ἀκίνητα τῶν ζώντων δι' ἔνδειαν τοῦ ὀργάνου, οἷον τὰ φυτὰ καὶ πολλὰ γένη τῶν ζώων, τοῖς δὲ τελειουμένοις ὑπάρχει.

§ 58.

Plantae, quum animam habeant, divisae in partem superam et inferam.

Coel. II. c. 2. p. 284. b. Φανερῶς γὰρ ἔν γε τοῖς ζώοις ὑπάρχοντα φαίνεται* πάντα τὰ τοιαῦτα μόρια, λέγω δ' οἷον τό τε δεξιὸν καὶ τὸ ἀριστερὸν [1], τοῖς δ' ἔνια, τοῖς δὲ φυτοῖς τὸ ἄνω καὶ τὸ κάτω μόνον. . . . τριῶν γὰρ ὄντων ἕκαστον οἷον ἀρχή τις ἐστίν. λέγω δὲ τὰ [2] τρία τὸ ἄνω καὶ τὸ κάτω, καὶ τὸ πρόσθεν καὶ τὸ ἀντικείμενον, καὶ τὸ δεξιὸν καὶ τὸ ἀριστερόν. ταύτας γὰρ τὰς

διαστάσεις εὔλογον ὑπάρχειν τοῖς* σώμασι τοῖς τελείοις πάσας· ἔστι δὲ τὸ μὲν ἄνω τοῦ μήκους ἀρχή, τὸ δὲ δεξιὸν τοῦ πλάτους, τὸ δὲ πρόσθεν [3] τοῦ βάθους. ἔτι δ' ἄλλως κατὰ τὰς κινήσεις· ἀρχὰς γὰρ ταύτας λέγω ὅθεν ἄρχονται πρῶτον αἱ κινήσεις τοῖς ἔχουσιν: ἔστι δὲ ἀπὸ μὲν τοῦ ἄνω ἡ αὔξησις, ἀπὸ δὲ τῶν δεξιῶν ἡ κατὰ τόπον, ἀπὸ δὲ τῶν ἔμπροσθεν ἡ κατὰ τὴν αἴσθησιν. ἔμπροσθεν γὰρ λέγω ἐφ' ᾧ [4] αἱ αἰσθήσεις. διὸ [5] οὐκ ἐν ἅπαντι σώματι τὸ ἄνω καὶ [6] κάτω καὶ τὸ δεξιὸν καὶ [6] ἀριστερὸν καὶ τὸ ἔμπροσθεν καὶ [6] ὄπισθεν ζητητέον ἀλλ' ὅσα ἔχει κινήσεως ἀρχὴν ἐν αὐτοῖς [7] ἔμψυχα ὄντα· τῶν γὰρ ἀψύχων ἐν οὐδενὶ ὁρῶμεν ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως . . . . καὶ τὸ μὲν p. 285 a. ἄνω καὶ τὸ κάτω πᾶσι τοῖς ἐμψύχοις ἐστὶν ὁμοίως s καὶ [8] ζώοις καὶ φυτοῖς, τὸ δὲ δεξιὸν καὶ τὸ ἀριστερὸν οὐκ ἐνυπάρχει τοῖς φυτοῖς.

* τοῖς μὲν ins. Simpl. 1) ἀρ. κ. τ. δεξ. Ald. Cam. Er. Simpl. 2) τὰ om. iid. 3) ἔμπροσθεν iid. 4) Sic iid. et om. ι subscr. LM; ὃ Bekk. 5) καὶ inser. Ald. Cam. Er. Simpl. Bekk., om E. 6) τὸ inser. FHLM Ald. Cam. Er. Simpl. 7) ἑαυτοῖς FHM. Simpl. 8) om. Simpl.

§ 59. 60.

Radices sunt pars supera plantae, animalium ori comparandae, fructus autem infera.

Ἐπεὶ δ' εἰσὶν αἱ διαστάσεις τὸν ἀριθμὸν ἓξ αἷς Anim. Inc. c. 4. p. 705. ὁρίζεσθαι πέφυκε τὰ ζῶντα [1], τό τε ἄνω καὶ [2] κάτω καὶ τὸ ἔμπροσθεν καὶ [3] ὄπισθεν ἔτι δὲ δεξιὸν καὶ ἀριστερόν, τὸ μὲν ἄνω καὶ κάτω μόριον πάντ' ἔχει τὰ ζῶντα. οὐ μόνον γὰρ ἐν τοῖς ζώοις ἐστὶ τὸ ἄνω καὶ κάτω ἀλλὰ καὶ ἐν τοῖς φυτοῖς. διείληπται δ' ἔργῳ καὶ οὐ θέσει μόνον τῇ πρός τε τὴν [4] γῆν καὶ τὸν οὐρανόν· ὅθεν μὲν γὰρ ἡ τῆς τροφῆς διάδοσις καὶ ἡ [5] αὔξησις [6] ἑκάστοις ἄνω τοῦτ' ἐστί. πρὸς ὃ δ' ἔσχατον αὕτη [7] περαίνει τοῦτο κάτω [8]· τὸ μὲν γὰρ [9] ἀρχή τις τὸ δὲ πέρας. ἀρχὴ δὲ τὸ ἄνω. καίτοι δόξειεν ἂν τοῖς φυτοῖς οἰκεῖον εἶναι τὸ κάτω μᾶλλον· οὐχ ὁμοίως

Digitized by Google

γὰρ ἔχει τῇ θέσει τὸ ἄνω καὶ κάτω τούτοις καὶ τοῖς ζώοις. ἔχει δὲ πρὸς μὲν τὸ ὅλον οὐχ ὁμοίως κατὰ δὲ τὸ ἔργον ὁμοίως. αἱ γὰρ ῥίζαι εἰσὶ τὸ ἄνω τοῖς φυτοῖς· ἐκεῖθεν γὰρ ἡ τροφὴ διαδίδοται τοῖς φυομένοις καὶ λαμβάνει ταύταις[10] αὐτὴν καθάπερ τὰ ζῶα τοῖς στόμασιν. ὅσα δὲ μὴ μόνον ζῇ ἀλλὰ καὶ ζῶά ἐστι[11] τοῖς τοιούτοις ὑπάρχει τό τε ἔμπροσθεν καὶ τὸ ὄπισθεν· αἴσθησιν γὰρ ἔχει ταῦτα πάντα[12].

1) ζῶα Y Cam. Er. Eph. sed ζῶντα e comm.; ζῷα Ald. 2) τὸ inser. Ald. Cam. Er. Eph., sed om. in comm. 3) τὰ ins. iid. et Y Eph., sed om. in comm. 4) om. Er. 5) om. Ald. Cam. Er. Eph. 6) αὔξησιν Cam. 7) αὐτὴ SUY Ald. Cam. Er. Eph. 8) om. Ald. 9) τὸ Cam.; om. U. 10) ταύτηι Z quod vide ne verum sit. 11) εἰσι Ald. Cam. Er. Eph. 12) πάντα ταῦτα iid. et PZ.

Vit. long. et brev. c. 6. p. 467. a. 60. Συμβαίνει δὲ ταὐτὸ ἐπί τε τῶν ζώων καὶ[1] φυτῶν· ἔν τε γὰρ τοῖς ζώοις τὰ ἄρρενα μακροβιώτερα ὡς ἐπὶ τὸ πολύ. τούτων δὲ τὰ ἄνω μείζω ἢ τὰ κάτω — κανωδέστερον[2] γὰρ τοῦ θήλεος τὸ ἄρρεν —, ἐν δὲ τῷ ἄνω τὸ θερμὸν καὶ τὸ ψυχρὸν ἐν τῷ κάτω. καὶ τῶν φυτῶν τὰ κεφαλοβαρῆ μακροβιώτερα. τοιαῦτα δὲ τὰ μὴ[3] ἐπέτεια ἀλλὰ δενδρώδη. τὸ γὰρ ἄνω τοῦ φυτοῦ καὶ κεφαλὴ ἡ ῥίζα ἐστί, τὰ δ' ἐπέτεια ἐπὶ τὸ κάτω καὶ τὸν καρπὸν λαμβάνει τὴν αὔξησιν.[4]

1) τῶν ins. Ald. Cam. Er. 2) magis enim validus masculus quam femella lat. Mart., sed nanus ceteris paribus Vers. Bern. 3) μὴ τὰ Ald. Cam. Er. Eph. 4) τὰ κάτω λαμβάνει καὶ τοὺς καρποὺς καὶ τὴν αὔξησιν iid. et ἐπὶ ante τὴν MZ; ad inferius et fructum accipiunt augmentum lat. Mart. Vers. Bern.

§ 61.

Plantae partem superam, qua alimentum sumunt, infra habent.

Juv. et Sen. c. 1. p. 467. b. Ἔτι δὲ διῃρημένου τοῦ σώματος τῶν μὲν ζώντων[1] πάντων[2] τῷ[3] τ' ἄνω καὶ τῷ[3] κάτω — πάντα γὰρ ἔχει τὸ ἄνω καὶ τὸ κάτω, ὥστε καὶ τὰ φυτὰ —, δῆ-
p. 468. a. λον ὅτι τὴν θρεπτικὴν ἀρχὴν ἔχοι ἂν ἐν μέσῳ τού-

Digitized by Google

τῶν·. καθ' ὃ μὲν γὰρ εἰςέρχεται μόριον ἡ τροφὴ ἄνω καλοῦμεν, πρὸς αὐτὸ βλέποντες ἀλλ' οὐ πρὸς τὸ περιέχον ὅλον, κάτω δὲ, καθ' ὃ τὸ περίττωμα ἀφίησι τὸ πρῶτον. ἔχει δ' ἐναντίως τοῖς φυτοῖς τοῦτο καὶ τοῖς ζώοις. τῷ μὲν γὰρ ἀνθρώπῳ διὰ τὴν ὀρθότητα μάλιστα ὑπάρχει τοῦτο τῶν ζώων, τὸ ἔχειν τὸ ἄνω μόριον πρὸς τὸ τοῦ παντὸς ἄνω· τοῖς δ' ἄλλοις μεταξύ· τοῖς δὲ φυτοῖς [4] ἀκινήτοις οὖσι καὶ λαμβάνουσι ἐκ τῆς γῆς τὴν τροφὴν ἀναγκαῖον ἀεὶ [5] κάτω τοῦτ' ἔχειν τὸ μόριον· ἀνάλογον γάρ εἰσιν αἱ ῥίζαι τοῖς φυτοῖς καὶ τὸ καλούμενον στόμα τοῖς ζώοις, δι' οὗ τὴν τροφὴν τὰ μὲν ἐκ τῆς γῆς λαμβάνει τὰ δὲ δι' αὑτῶν [6].

1) ζώων Ald. 2) πάντον Cam. 3) τὸ Ald.; τῷ ante κάτω Cam. Er. Eph., om. Bekk. 4) τὰ ins. Cam. 5) εἴη P. 6) αὐτῶν Ald. Cam. Er. Eph.; λαμβάνειν τὰ δὲ, διὰ τῶν αὐτῶν MZ.

§ 62.

Caput animalium situ contrarium est functione convenit cum plantae radice.

Ἐμπεδοκλῆς δ' οὐ καλῶς εἴρηκε τοῦτο, προςτιθεὶς τὴν αὔξησιν συμβαίνειν τοῖς φυτοῖς κάτω μὲν ῥιζουμένων [1] διὰ τὸ τὴν γῆν οὕτω φέρεσθαι κατὰ φύσιν ἄνω δὲ διὰ τὸ πῦρ ὡςαύτως. οὔτε γὰρ τὸ ἄνω καὶ [2] κάτω καλῶς λαμβάνει· οὐ γὰρ ταὐτὸ πᾶσι τὸ ἄνω καὶ [2] κάτω καὶ τῷ παντί, ἀλλ' ὡς ἡ κεφαλὴ τῶν ζώων οὕτως αἱ ῥίζαι τῶν φυτῶν, εἰ χρὴ τὰ ὄργανα λέγειν ἕτερα [3] καὶ ταὐτὰ τοῖς ἔργοις. Anim. II. c. 4. p. 415. b.

1) Sic SUVWX Ald. Cam. Er. Simpl. Philop.; ῥιζουμένοις T; συρριζουμένοις E Bekk. Trendel; Simpl. in comm. explicat διὰ μὲν τὴν γῆν κάτω κινουμένην τὴν ῥίζωσιν. Retinui vulgatam quae difficilior est; est enim ῥιζουμένων genitivus q. v. absolutus, hoc loco epexegeseos causa voci κάτω additus, ergo ut omnino non inauditus ita hic satis excusatus; nam si quis legat κάτω μὲν ῥιζουμένοις non poterit ῥιζουμένοις ad verba antitheseos ἄνω δὲ non repe-

Digitized by Google

tere. Praepositioni σύν vero hic plane non locus esse videtur. 2) τὸ ins. Ald. Cam. Er. Phil. Simpl. cont. et comm. 3) ἕτερα λέγειν iid.

§ 63.

Plantae radicem infra habent nutritionis causa.

Phys. II. c. 8. p. 199. a. Κατὰ μικρὸν δ' οὕτω προϊόντι[1] καὶ ἐν τοῖς φυτοῖς φαίνεται τὰ συμφέροντα γινόμενα πρὸς τὸ τέλος, οἷον τὰ φύλλα τῆς τοῦ καρποῦ ἕνεκα σκέπης. ὥςτ' εἰ φύσει τε ποιεῖ καὶ ἕνεκά του ἡ χελιδὼν τὴν νεοττιὰν καὶ ὁ ἀράχνης τὸ ἀράχνιον καὶ τὰ φυτὰ τὰ φύλλα ἕνεκα τῶν καρπῶν καὶ τὰς ῥίζας οὐκ ἄνω ἀλλὰ κάτω ἕνεκα τῆς τροφῆς, φανερὸν ὅτι ἔστιν ἡ αἰτία ἡ τοιαύτη ἐν τοῖς φύσει γινομένοις καὶ οὖσιν. καὶ ἐπεὶ ἡ φύσις διττή, ἡ μὲν ὡς ὕλη ἡ δ' ὡς μορφή, τέλος δ' αὕτη, τοῦ τέλους δ' ἕνεκα τἆλλα[2], αὕτη ἂν εἴη ἡ αἰτία ἡ οὗ ἕνεκα.

1) προϊόντα FI Ald. Cam., quod fortasse genuinum; procedenti lat. Kell. Mart. Vers. Asul. Bern. 2) τὰ ἄλλα. Ald. Cam Er. Philop.

§ 64.

Plantae ut ostracoderma caput infra habent, quo nutrimentum assumant.

Part. Anim. IV. c. 7. p. 683. b. Ἅπαντα δὲ τὰ ὀστρακόδερμα καθάπερ τὰ φυτὰ κάτω τὴν κεφαλὴν ἔχει. τούτου δ' αἴτιον ὅτι κάτωθεν λαμβάνει τὴν τροφὴν, ὥςπερ τὰ φυτὰ ταῖς ῥίζαις. συμβαίνει οὖν αὐτοῖς τὰ μὲν κάτω ἄνω ἔχειν, τὰ δ' ἄνω κάτω.

§ 65.

Radices capitis et oris potestatem habent, semen autem contrarium.

Part. Anim. IV. c. 10. p. 686. b. Ἔτι δ' ἐλάττονος γινομένης τῆς αἰρούσης[1] θερμότητος καὶ τοῦ γεώδους πλείονος τά τε σώματα ἐλάττονα τῶν ζώων ἐστὶ[2] καὶ πολύποδα τέλος δ' ἄποδα γίγνεται καὶ τεταμένα πρὸς τὴν γῆν. μικρὸν[3] δ'

οὕτω προβαίνοντα καὶ τὴν ἀρχὴν ἔχουσι κάτω καὶ τὸ κατὰ τὴν κεφαλὴν μόριον τέλος ἀκίνητόν ἐστι καὶ ἀναίσθητον καὶ γίνεται φυτόν, ἔχον τὰ μὲν ἄνω κάτω τὰ δὲ κάτω ἄνω· αἱ γὰρ ῥίζαι τοῖς φυτοῖς στόματος καὶ κεφαλῆς ἔχουσι δύναμιν τὸ δὲ σπέρμα τοὐναντίον· ἄνω γὰρ καὶ ἐπ' ἄκροις γίνεται τοῖς πτόρθοις.

1) αἰρούσης Ald. Cam. Er. 2) εἰσὶ iid. 3) μικρῷ iid.

§ 66.

Arbores novos semper ramos et radices emittunt, dum priores senescunt.

Περὶ δὲ τοῦ πολυχρόνιον εἶναι τὴν τῶν δένδρων φύσιν δεῖ λαβεῖν τὴν αἰτίαν· ἔχει γὰρ ἰδίαν πρὸς τὰ ζῶα πλὴν πρὸς τὰ ἔντομα[1]. νέα γὰρ ἀεὶ τὰ φυτὰ γίνεται διὸ πολυχρόνια· ἀεὶ γὰρ ἕτεροι οἱ πτόρθοι οἱ δὲ[2] γηράσκουσιν· καὶ αἱ ῥίζαι ὁμοίως· ἀλλ'[3] οὐχ ἅμα ἀλλ' ὅτε[4] μὲν μόνον τὸ στέλεχος[5] καὶ οἱ κλάδοι ἀπώλοντο ἕτεροι δὲ παρεφύησαν· ὅταν δ' οὕτως ὦσιν[6] αἱ ῥίζαι ἄλλαι[7] ἐκ τοῦ ὑπάρχοντος[8] γίνονται καὶ οὕτως ἀεὶ διατελεῖ τὸ μὲν φθειρόμενον τὸ δὲ γινόμενον, διὸ καὶ μακρόβια[9]. Vit. long. et brev. c. 6. p. 467. a.

1) ἄτομα L. 2) οὐδὲ M. 3) om. M. 4) ὅταν M. 5) τὸ στέλ. μόνον P. 6) ποιῶσιν MZ. 7) ἀλλ' S. 8) ὑπάρχοντες Bekk. err. typothet. ut videtur. 9) μακρόβιον P. – Et editi omnes cum Bekkeri textu consentiunt et codicum parva, quanquam fortasse non plane negligenda varietas. Eph. cont. consentit neque e commentario eum alia habuisse coniicias. Etiam lat. vett. consentiunt: iuvenes enim semper plantae fiunt propter quod multi temporis semper enim altere germinationes: hec autem senescunt, et radices similiter sed non simul Sed aliquando quidem solus stipes et rami perierunt. alteri autem iuxta nati sunt Cum autem sic fuerint radices alia generantur Mart. Vers.; post radices Bern. addit ex existente. Editorum nemo quantum sciam de hoc loco suspicionem movit: est vero maxime suspectus ne dicam

corruptus, idque in verbis ἀλλ' οὐχ ἅμα usque ad ὥσιν, quae neque graece dicta esse neque sensum habere dico. Codices emendationis viam non monstrant; coniicere quid legendum sit ardua est res atque lubrica. Si statueris verba inde ab ὁμοίως usque ad ὥσιν αἱ ῥίζαι e glossemate profecta et cum textu male conflata esse, reliqua sana esse videri possunt.

§ 67.

Omnis germinatio e medio et in seminibus et in nodis.

Juv. et Sen. c. 3. p. 468. a. Ἥ τε γὰρ τῶν σπερμάτων γένεσις συμβαίνει πᾶσιν ἐκ τοῦ μέσου . . . . . ἔν τε ταῖς ἐμφυτείαις καὶ ταῖς ἀποφυτείαις μάλιστα [1] τοῦτο συμβαίνει περὶ τοὺς ὄζους· ἔστι γὰρ ἀρχή τις ὁ ὄζος τοῦ κλάδου ἅμα δὲ καὶ μέσον, ὥστε ἢ τοῦτο ἀφαιροῦσιν ἢ εἰς τοῦτο ἐμβάλλουσιν ἵνα ἢ ὁ κλάδος ἢ αἱ ῥίζαι ἐκ τούτου [2] γίνωνται, ὡς οὔσης τῆς ἀρχῆς ἐκ τοῦ μέσου καυλοῦ καὶ ῥίζης.

1) ἀμφότερα συμβ. ταῦτα MZ συμβ. τοῦτο μαλ. Eph. cont. et comm. 2) Sic Ald. Er. Eph. cont. et comm.; τούτων Cam., Bekk., Codd., ut videtur, omnes, quae lectio minime recipienda erat: pluralis enim plane non aptus: τούτου refertur ad ὁ ὄζος.

§ 68.

Semina primum radices dein caulem emittunt.

Gen. Anim. II. c. 6. p. 741. b. Τὸ δὲ λεχθὲν συμβαίνει καὶ ἐπὶ τῶν φυτῶν τὸ προτερεῖν τῇ γενέσει τὸ ἄνω κύτος τοῦ κάτωθεν [1]. τὰς γὰρ ῥίζας πρότερον ἀφιᾶσι τὰ σπέρματα τῶν πτόρθων.

1) κύτος τοῦ κάτωθεν om. Ald. Er.; χῦτος Cam.

§ 69.

Semina bivalvia; ubi connatae ibi principium et inde partes evolvuntur.

Juv. et Sen. c. 1. p. 468. b. Ἔτι δὲ ἐπί τε τῶν φυτῶν δῆλον καὶ ἐπὶ τῶν ζώων, τῶν μὲν φυτῶν τήν τ' ἐκ τῶν σπερμάτων γένεσιν ἐπισκοποῦσι καὶ τὰς ἐμφυτείας τε καὶ τὰς ἀποφυ-

Digitized by Google

τείας. ἥ τε γὰρ τῶν σπερμάτων γένεσις συμβαίνει πᾶσιν ἐκ τοῦ μέσου· διθύρων γὰρ ὄντων πάντων, ᾗ συμπέφυκεν ἡ ἀρχὴ[1] καὶ τὸ μέσον ἐστὶν ἑκατέρου τῶν μορίων· ἐντεῦθεν γὰρ[2] ὅ τε καυλὸς ἐκφύεται καὶ ἡ ῥίζα τῶν φυομένων, ἡ δ' ἀρχὴ τὸ μέσον αὐτῶν ἐστί.

1) Sic emendavi e coniectura; scripti et impressi omnes ᾗ συμπέφυκεν ἔχεται καὶ τὸ μέσον q. sq.; cod. L. ἔχεται omittit. Emendatio necessaria erat; librorum enim lectio importuna vel absurda. Quam protuli non tam facilitate commendari videtur quam praestare quod hoc loco unum et solum dici poterat, quare recipere eam minime dubitavi. Verte: cum enim semina omnia sint bivalvia, qua parte connatae sunt ibi est principium atque medium partis utriusque. Pondus accedit emendationi nostrae e loco simillimo, a Bekkero e codicibus optime restituto, Gener. Anim. III. c. 2. p. 752 a. l. 21: ᾗ γὰρ συνῆπται τὸ δίθυρον τῶν κυάμων καὶ τῶν τοιούτων σπερμάτων, ταύτῃ προσπέφυκεν· ἡ δ' ἀρχὴ ἐνταῦθα τοῦ σπέρματος. 2) ἐνθεῦτεν γὰρ non habuit Ephes., dicit enim supplenda haec esse.

§ 70.

Differentia inter semen et fructum.

Σπέρμα δὲ καὶ καρπὸς διαφέρει τῷ ὕστερον καὶ πρότερον· καρπὸς μὲν γὰρ τῷ[1] ἐξ ἄλλου εἶναι, σπέρμα δὲ τῷ[1] ἐκ τούτου ἄλλο, ἐπειδὴ ἄμφω[2] ταὐτόν ἐστι. Gen. Anim. I. c. 17. p. 724. b.

1) τὸ Ald. Cam. Er., pr. Z et altero loco Y. 2) ἐπεὶ ἄμφω γε Bekk. e codd. PZ; ἐπειδὴ ἄλλως ἄμφω Cam.

§ 71.

Semina Leguminosarum plurimum terrena.

— ὥσπερ τὰ τῶν χεδρόπων[1] ἐρύματα καὶ τῶν ἄλλων καρπῶν, διὰ τὸ γῆς εἶναι τὸ πλεῖστον μέρος, ἐξιόντος τοῦ μιχθέντος ὑγροῦ· καὶ γὰρ ταῦτα γίνεται σκληρὰ καὶ γεηρὰ πάμπαν. Part. Anim. II. c. 7. p. 653. a.

1) χεδροπῶν Ald. Cam. Er. Vide Sylburg. in ed. Francof. Wecheliana ad h. l.

Digitized by Google

§ 72.

Flores plantarum cum pube hominis comparantur.

Hist. Anim. VII. c. 1. p. 581. a. Φέρειν δὲ σπέρμα πρῶτον[1] ἄρχεται τὸ ἄρρεν ὡς ἐπὶ τὸ πολὺ ἐν τοῖς ἔτεσι τοῖς δὶς ἑπτὰ τετελεσμένοις· ἅμα δὲ καὶ τρίχωσις τῆς ἥβης ἄρχεται, καθάπερ καὶ τὰ φυτὰ[2] μέλλοντα σπέρμα φέρειν ἀνθεῖν[3] πρῶτον Ἀλκμαίων φησὶν[4] ὁ Κροτωνιάτης.

1) πρότερον Dª Ald. Cam. Er. 2) τὰ μέλλοντα φέρειν τὸ σπέρμα Hd. et PCª 3) ἀνθεῖ Dª Ald. Cam. Er. 4) φησὶ πρ. Ἀλκ. Hd.

§ 73.

Foliorum venae.

Part. Anim. III. c. 5. p. 668. a. Τὸν αὐτὸν τρόπον καὶ ἡ φύσις τὸ αἷμα διὰ παντὸς ὠχέτευκε τοῦ σώματος, ἐπειδὴ παντὸς ὕλη πέφυκε τοῦτο· γίνεται δὲ κατάδηλον ἐν τοῖς μάλιστα καταλελεπτυσμένοις· οὐδὲν γὰρ ἄλλο φαίνεται παρὰ τὰς φλέβας καθάπερ ἐπὶ τῶν ἀμπελίνων καὶ συκίνων φύλλων καὶ ὅσ' ἄλλα τοιαῦτα, καὶ γὰρ τούτων αὐαινομένων φλέβες λείπονται μόνον. τούτων δ' αἴτιον ὅτι τὸ αἷμα καὶ τὸ ἀνάλογον τούτῳ δυνάμει σῶμα καὶ σάρξ ἢ τὸ ἀνάλογόν ἐστι.

CAPUT SEPTIMUM.

De plantarum nutritione.

---

§ 74.

Omne corpus animatum nutritur et habet propterea calorem.

Anim. II. c. 4. p. 416. Ἐπεὶ δ' οὐδὲν[1] τρέφεται μὴ μετέχον ζωῆς, τὸ ἔμψυχον ἂν εἴη σῶμα τὸ τρεφόμενον ᾗ ἔμψυχον, ὥστε καὶ ἡ τροφὴ πρὸς ἔμψυχόν ἐστι καὶ οὐ κατὰ συμβεβηκός. ἔστι δ' ἕτερον τροφῇ[2] καὶ αὐξητικῷ

εἶναι· ἧ[3] μὲν γὰρ ποσόν τι τὸ ἔμψυχον αὐξητικόν, ᾗ δὲ τόδε τι καὶ οὐσία τροφή· σώζει γὰρ τὴν οὐσίαν καὶ μέχρι τούτου ἐστὶν ἕως ἂν καὶ[4] τρέφηται[5], καὶ γενέσεως[6] ποιητικὸν οὐ τοῦ τρεφομένου ἀλλ' οἷον τὸ τρεφόμενον· ἤδη γάρ ἐστιν αὐτὴ[7] ἡ οὐσία, γεννᾷ δ' οὐδὲν αὐτὸ ἑαυτὸ ἀλλὰ σώζει. ὥσθ' ἡ μὲν τοιαύτη τῆς ψυχῆς ἀρχὴ δύναμίς ἐστιν οἵα σώζειν τὸ ἔχον αὐτὴν ᾗ τοιοῦτον, ἡ δὲ τροφὴ παρασκευάζει ἐνεργεῖν, διὸ στερηθὲν τροφῆς οὐ δύναται εἶναι. ἐπεὶ δ' ἐστὶ τρία, τὸ τρεφόμενον καὶ ᾧ τρέφεται καὶ τὸ τρέφον, τὸ μὲν τρέφον ἐστὶν ἡ πρώτη ψυχὴ, τὸ δὲ τρεφόμενον τὸ ἔχον αὐτὴν σῶμα, ᾧ δὲ τρέφεται ἡ τροφή. ἐπεὶ δὲ ἀπὸ τοῦ τέλους ἅπαντα προσαγορεύειν δίκαιον, τέλος δὲ τὸ γεννῆσαι οἷον αὐτὸ, εἴη ἂν ἡ πρώτη ψυχὴ γεννητικὸν[8] οἷον αὐτό. . . . πᾶσαν δ' ἀναγκαῖον τροφὴν δύνασθαι[9] πέττεσθαι, ἐργάζεται δὲ τὴν πέψιν τὸ θερμόν· διὸ πᾶν ἔμψυχον ἔχει θερμότητα.

1) οὐδὲ Ald. Philop. 2) τροφὴ Ald. Philop.; τροφῇ Simpl. 3) ἡ Ald. 4) ἂν om. Ald. Simpl. Philop.; καὶ om. Cam. Er. 5) τρέφηι ETW. 6) γεννήσεως ES. 7) αὐτοῦ STVWX. 8) Sic ESTWX Ald. Philop. Simpl. cont.; γεννητικὴ Simpl. comm. Cam. Er. Bekk. Trendel. 9) δυνάμει Ald. Philop.

§ 75.

Plantae nutriuntur aqua cui mixta est terra.

Ἅπαντα δὲ τὰ μικτὰ σώματα, ὅσα περὶ τὸν τοῦ μέσου τόπον ἐστίν, ἐξ ἁπάντων σύγκειται τῶν ἁπλῶν. γῆ μὲν γὰρ ἐνυπάρχει πᾶσι διὰ τὸ ἕκαστον εἶναι μάλιστα καὶ πλεῖστον ἐν τῷ οἰκείῳ τόπῳ, ὕδωρ δὲ διὰ τὸ δεῖν μὲν ὁρίζεσθαι τὸ σύνθετον[1], μόνον δ' εἶναι τῶν ἁπλῶν εὐόριστον τὸ ὕδωρ, ἔτι δὲ καὶ[2] τὴν γῆν ἄνευ τοῦ ὑγροῦ μὴ δύνασθαι συμμένειν ἀλλὰ τοῦτ' εἶναι τὸ συνέχον· εἰ γὰρ ἐξαιρεθείη τελέως ἐξ αὐτῆς τὸ ὑγρὸν διαπίπτοι ἄν. γῆ μὲν οὖν καὶ ὕδωρ διὰ ταύτας ἐνυπάρχει[3] τὰς αἰτίας, ἀὴρ δὲ καὶ πῦρ

Gen. et inter. II. c. 8. p. 335. a.

Digitized by Google

ὅτι ἐναντία ἐστὶ γῇ καὶ ὕδατι· γῆ μὲν γὰρ ἀέρι ὕδωρ δὲ πυρὶ ἐναντίον ἐστίν, ὡς ἐνδέχεται οὐσίαν οὐσίᾳ ἐναντίαν εἶναι. ἐπεὶ οὖν αἱ γενέσεις ἐκ τῶν ἐναντίων εἰσὶν ἐνυπάρχει δὲ θάτερα ἄκρα [4] τῶν ἐναντίων, ἀνάγκη καὶ θάτερα [5] ἐνυπάρχειν, ὥστ' ἐν ἅπαντι τῷ συνθέτῳ πάντα τὰ ἁπλᾶ ἐνέσται. μαρτυρεῖν δ' ἔοικε καὶ ἡ τροφὴ ἑκάστων [6]· ἅπαντα [7] μὲν γὰρ τρέφεται τοῖς αὐτοῖς ἐξ ὧνπερ ἐστίν [8], ἅπαντα δὲ πλείοσι τρέφεται. καὶ γὰρ ἅπερ [9] ἂν δόξειεν ἑνὶ μόνῳ [10] τρέφεσθαι, τῷ ὕδατι τὰ φυτά, πλείοσι τρέφεται· μέμικται γὰρ τῷ ὕδατι γῆ· διὸ καὶ οἱ γεωργοὶ πειρῶνται μίξαντες κόπρον ἄρδειν.

1) τὰ σύνθετα Ald. Cam. Er. Philop. 2) τὸ inser. iidem. Fortasse scriptum erat ἔτι δὲ διὰ τὸ τὴν γῆν q. sq. 3) ἐνυπάρχουσι iid. et F. 4) θάτερον ἄκρον Ald. Er. Philop. L. 5) Sic E Cam. lat. Mart. Vers. Asul. Bern.; θάτερον Ald. Er. Philop. Bekk. 6) ἑκάστου H Ald. Cam. Er. Philop. 7) ἕκαστον Cam. 8) εἰσίν FH. 9) ὅσαπερ Ald. Cam. Er. Philop. 10) μάλιστα ἑνὶ L; μάλιστα μόνῳ ἑνὶ Ald. Cam. Er. Philop.; etenim quecunque utique videntur uno solo nutriri ut aqua plante multis nutriuntur lat. Mart. Vers.; utique om. Asul. Bern. 11) κόπρον ins. Cam., quod probat Schneider ad Theophr. t. V. p. 257. Habuit etiam Philop. ut e comm. apparet, in contextu omissum est. Recepi igitur, cum aptissimum sit. Reliqui omnes omittunt.

§ 76.

Omnia nutriuntur mixto eoque dulci.

Sens.&Sens. c. 4. p. 441. b. Ὅτι δ' οὐ παντὸς ξηροῦ ἀλλὰ τοῦ τροφίμου οἱ χυμοὶ ἢ πάθος εἰσὶν ἢ στέρησις δεῖ λαβεῖν ἐντεῦθεν, ὅτι οὔτε τὸ ξηρὸν ἄνευ τοῦ ὑγροῦ οὔτε τὸ ὑγρὸν ἄνευ τοῦ ξηροῦ· τροφὴ γὰρ οὐδὲν αὐτῶν τοῖς ζώοις ἀλλὰ τὸ μεμιγμένον [1]. καὶ ἔστι τῆς προσφερομένης τροφῆς τοῖς ζώοις τὰ μὲν ἁπτὰ τῶν αἰσθητῶν αὔξησιν ποιοῦντα καὶ φθίσιν· τούτων μὲν γὰρ αἴτιον ᾗ θερμὸν καὶ ψυχρὸν τὸ προσφερόμενον· ταῦτα γὰρ ποιεῖ καὶ αὔξησιν καὶ φθίσιν· τρέφει δὲ ᾗ γευστὸν τὸ προς-

φερόμενον· πάντα γὰρ τρέφεται τῷ γλυκεῖ ἢ ἁπλῶς ἢ μεμιγμένως.

1) Exhibui lectionem Bekkeri e cod. L ut videtur expressam, eamque Aldinae Er. et Al.Aph. conf. praeterquam quod hae *μιγνύμενον* habent. Cam.: *τροφὴ γὰρ οὐχ ἓν μόνον ἐν τοῖς ζώοις οὐδὲ αὐτοῖς φυτοῖς ἀλλὰ τὸ μιγνύμενον.* A textu ita recedunt codices: *οὐδ' αὐτοῖς* EMT, *οὐχ ἓν* U, *οὐχ ἓν μόνον* S, *οὐδὲν αὐτοῖς ζώοις οὐχ ἓν μόνον τοῖς ζώοις* P; deinde post *τοῖς ζώοις* habet *οὐδὲ αὖ τοῖς φυτοῖς* margo U, *τοῖς μεμιγμένοις· οὐδὲ αὖ τοῖς φυτοῖς ἀλλὰ τοῖς μεμιγμένοις* P. *τὸ μιγνύμενον* L Ald. Cam. Er. *τροφὴ γὰρ οὐχ ἓν μόνον* Al. Aph. in comm. quem vide. Accoramb. ex ed. Basil. Froben. ceterum cum nostra Er. usque ad lineam congrua hoc lemma refert: *τροφὴ γὰρ οὐδὲν μόνον αὐτῶν τοῖς ζώοις οὐδὲ αὐτοῖς φυτοῖς ἀλλὰ τὸ μιγνύμενον.* Quoniam nec siccum absque humido, nec humidum absque sicco. Esca enim ipsis animalibus nihil unum solum, sed commixtum neque in ipsis plantis sed mixtum Lat. Mart. Vers. Bern. Lectio Aldinae et Bekkeri neutiquam vera, sed sensu obscura verbis corrupta esse videtur; cum autem bonam emendationem non invenirem, nihil mutavi. Visum est ita fere locum restitui posse: . . . *ἄνευ τοῦ ξηροῦ τροφὴ ὑπάρχει τοῖς ζώοις οὐδ' αὐτοῖς φυτοῖς ἀλλὰ τὸ μεμιγμένον.* Si defendere velis Aldinam recipiendum certe erit *οὐχ ἕν*, nam *οὐδὲν* sine omni est sensu.

§ 77.

Nutrimentum est compositum, sicut id quod nutritur.

Πρῶτον μὲν γὰρ ὁρῶμεν ὅτι τὴν τροφὴν δεῖ εἶναι σύνθετον[1]· καὶ γὰρ τὰ τρεφόμενα οὐχ ἁπλᾶ ἐστίν, διὸ καὶ περιττώματα γίνεται[2] ἢ ἐν αὐτοῖς, ἢ ἔξω ὥςπερ τοῖς φυτοῖς. Sens.&Sens. c. 5. p. 445. a.

1) *συνθετὴν* EMPSU Ald. 2) *τῆς τροφῆς* ins. Al.Aph.

§ 78.

Nutrimentum plantarum est corporeum idque humidum.

Δεῖ γὰρ τὴν τροφὴν σωματώδη οὖσαν ὑγρὰν εἶναι καθάπερ τοῖς φυτοῖς. Ζῇ δὲ τὸ πρῶτον καὶ τὰ ἐν Gen. Anim. III. c. 2. p. 753. b.

τοῖς ᾠοῖς γινόμενα [1] καὶ τὰ ἐν τοῖς ζώοις φυτοῦ βίον· τῷ πεφυκέναι γὰρ ἔκ τινος λαμβάνει τὴν πρώτην αὔξησιν καὶ τροφήν.

1) om. Ald. Cam. Er. Philop.

§ 79.

Calor naturalis perficit alimentum.

Sens.&Sens. c. 4. p. 442. a.

Τὸ γὰρ θερμὸν αὔξάνει καὶ δημιουργεῖ τὴν τροφήν, καὶ τὸ [1] μὲν κοῦφον ἕλκει τὸ δ' ἁλμυρὸν καὶ πικρὸν καταλείπει διὰ τὸ [2] βάρος. ὃ δὴ ἐν τοῖς ἔξω σώμασι ποιεῖ τὸ ἔξω θερμόν, τοῦτο τὸ [3] ἐν τῇ φύσει τῶν ζώων καὶ φυτῶν· διὸ τρέφεται τῷ γλυκεῖ.

1) τῷ τὸ . . ἕλκειν . . καταλείπειν P. 2) om. Bekk. cum codd. EMSY. 3) om. Ald. Cam. Er. Al. Aph. Bekk.; recepi e codd. PSU; hoc quidem in natura animalium et plantarum lat. Mart. Vers. Asul. Bern. Gen. Anim. III. c. 11. p. 762. ὅπερ ἡ ἐν τοῖς ζώοις θερμότης ἐκ τῆς τροφῆς ἀπεργάζεται, τοῦθ' ἡ τῆς ὥρας ἐν τῷ περιέχοντι θερμότης . . συνίστησιν.

§ 80.

Calor naturalis inesse debet ad concoquendum alimentum.

Part. Anim. II. c. 3. p. 650. a.

Ἐπεὶ δ' ἀνάγκη πᾶν τὸ αὐξανόμενον [1] λαμβάνειν τροφήν, ἡ δὲ τροφὴ πᾶσιν [2] ἐξ ὑγροῦ καὶ ξηροῦ καὶ τούτων ἡ πέψις γίνεται καὶ ἡ μεταβολὴ διὰ τῆς τοῦ θερμοῦ δυνάμεως, καὶ τὰ ζῶα πάντα καὶ τὰ φυτὰ κἂν εἰ μὴ δι' ἄλλην αἰτίαν ἀλλὰ διὰ ταύτην ἀναγκαῖον ἔχειν ἀρχὴν θερμοῦ φυσικήν, καὶ ταύτην [3] ὥσπερ αἱ ἐργασίαι τῆς τροφῆς πλειόνων εἰσὶ μορίων.

1) αὐξόμενον Ald. Cam. Er. 2) πᾶσα iid. 3) πλείοσι μορίοις ἐνυπάρχουσαν inser. Cam., quae recipere non dubitassem, nisi et ipsa per se interpretamentum olerent et reliqui testes vetarent. Sed locum recte se habere minime credas; structura enim καὶ ταύτην ὥσπερ . . εἰσίν ne apud Aristotelem quidem ferenda nunquam brevitati sermonis puritatem et concinnitatem postponentem. Possis εἶναι pro εἰσί coniicere, sed nec optime hoc se habet. Ex inter-

Digitized by Google

pret. Gazae nihil assequare: idque ipsum partibus sit pluribus accommodatum quemadmodum cibi conficiendi administrationes.

§ 81.

Plantae concoctum alimentum e terra assumunt per radices.

Τὰ μὲν γὰρ φυτὰ λαμβάνει τὴν τροφὴν κατειργασμένην ἐκ τῆς γῆς ταῖς ῥίζαις· διὸ καὶ περίττωμα[1] *οὐ γίνεται τοῖς φυτοῖς, τῇ γὰρ γῇ καὶ τῇ ἐν αὐτῇ θερμότητι χρῆται*[2] *ὥςπερ κοιλίᾳ· τὰ δὲ ζῶα πάντα μὲν σχεδὸν, τὰ δὲ πορευτικὰ φανερῶς, οἷον γῆν ἐν αὑτοῖς*[3] *ἔχει τὸ τῆς κοιλίας κύτος, ἐξ ἧς ὥςπερ ἐκεῖνα ταῖς ῥίζαις ταῦτα δεῖ*[4] *τινὶ τὴν τροφὴν λαμβάνειν*[5] *ἕως τὸ τῆς ἐχομένης πέψεως λάβῃ τέλος.* Part. Anim. II. c. 3. p. 650. a.

1) *περιττώματα* PSUZ. 2) *χρῆται* Cam. 3) *αὐτοῖς* Ald. Cam. Er. 4) *δὴ* Y. 5) *λαμβάνει* Y Cam.

§ 82 - 86.

Plantae e terra per radices, ut animalia ex utero per umbilicum, primum alimentum sumunt.

Διὸ πρῶτον ἡ καρδία φαίνεται διωρισμένη πᾶσι τοῖς ἐναίμοις· ἀρχὴ γὰρ αὕτη καὶ τῶν ὁμοιομερῶν καὶ τῶν ἀνομοιομερῶν· ἤδη γὰρ ἀρχὴν ταύτην ἄξιον ἀκοῦσαι τοῦ ζῴου καὶ τοῦ συστήματος ὅταν δέηται τροφῆς· τὸ γὰρ δὴ ὂν αὐξάνεται. τροφὴ δὲ ζῴου ἡ ἐσχάτη αἷμα καὶ τὸ ἀνάλογον· τούτων δ' ἀγγεῖον αἱ φλέβες· διὸ ἡ καρδία καὶ τούτων ἀρχή. δῆλον δὲ τοῦτο ἐκ τῶν ἱστοριῶν καὶ τῶν ἀνατομῶν. ἐπεὶ δὲ δυνάμει μὲν ἤδη ζῷον ἀτελὲς δέ, ἄλλοθεν ἀναγκαῖον λαμβάνειν τὴν τροφήν· διὸ χρῆται τῇ ὑστέρᾳ καὶ τῇ ἐχούσῃ, ὥςπερ γῇ φυτόν, τοῦ λαμβάνειν τροφὴν ἕως ἂν τελεωθῇ[1] *πρὸς τὸ εἶναι ἤδη ζῷον δυνάμει*[2] *πορευτικόν.* Gener. Anim. II. c. 4. p. 740. a.

1) *τελειωθῇ* Y Ald. Cam. Er. 2) *δυνάμει* om. Ald., ante *ζῷον* Cam.; om. in textu Philop. sed in comm. explicatur.

Gener. Anim. II. c. 4. p. 740. a.

83. *Αἱ δὲ φλέβες οἷον ῥίζαι πρὸς τὴν ὑστέραν συνάπτουσι, δι᾽ ὧν λαμβάνει τὸ κύημα τὴν*[1] *τροφήν.*

1) om. Ald. Cam. Er. Philop.

Gener. Anim. II. c. 4. p. 740. b.

84. *Ἡ μὲν οὖν αὔξησις τῷ κυήματι γίνεται διὰ τοῦ ὀμφαλοῦ τὸν αὐτὸν τρόπον ὅνπερ διὰ τῶν ῥιζῶν τοῖς φυτοῖς, καὶ τοῖς ζώοις αὐτοῖς ὅταν ἀπολυθῶσιν ἐκ τῆς ἐν αὐτοῖς*[1] *τροφῆς.*

1) *αὐτοῖς* Ald. Cam.

Gener. Anim. II. c. 7. p. 745. b.

85. *Ἔχει δὲ τὴν αὔξησιν τὰ ζωοτοκούμενα τῶν ἐμβρύων ὥσπερ ἐλέχθη πρότερον διὰ τῆς τοῦ ὀμφαλοῦ προσφύσεως. ἐπεὶ γὰρ ἔνεστιν ἐν τοῖς ζώοις καὶ ἡ θρεπτικὴ δύναμις τῆς ψυχῆς, ἀφίησιν εὐθὺς οἷον ῥίζαν τὸν ὀμφαλὸν εἰς*[1] *τὴν ὑστέραν.*

1) *ἐπὶ* Ald. Cam. Er. Philop.

Part. Anim. IV. c. 4. p. 678. a.

86. *Ἐπεὶ γὰρ ἀναγκαῖον τὰ ζῷα τροφὴν λαμβάνειν θυράθεν καὶ πάλιν ἐκ ταύτης γίνεσθαι τὴν ἐσχάτην τροφήν, ἐξ ἧς ἤδη διαδίδοται εἰς τὰ μόρια — τοῦτο δὲ τοῖς μὲν ἀναίμοις ἀνώνυμον τοῖς δ᾽ ἐναίμοις αἷμα καλεῖται —, δεῖ τι εἶναι δι᾽ οὗ εἰς τὰς φλέβας ἐκ τῆς κοιλίας οἷον διὰ ῥιζῶν πορεύσεται*[1] *ἡ τροφή. τὰ μὲν οὖν φυτὰ τὰς ῥίζας ἔχει εἰς τὴν γῆν, ἐκεῖθεν γὰρ λαμβάνει τὴν τροφήν· τοῖς δὲ ζώοις ἡ κοιλία καὶ ἡ τῶν ἐντέρων δύναμις γῆ*[2] *ἐστίν, ἐξ ἧς δεῖ λαμβάνειν τὴν τροφήν· διόπερ ἡ τοῦ μεσεντερίου φύσις ἐστὶν οἷον ῥίζας ἔχουσα τὰς δι᾽ αὐτῆς φλέβας.*

1) *πορεύεται* S. 2) *ἀντὶ γῆς* Ald. Cam.

§ 87. 88.

Plantae non habent excrementum; eius loco semina et fructus emittunt.

Part. Anim. II. c. 10. p. 655. b.

Πᾶσι γὰρ τοῖς ζώοις καὶ τελείοις δύο τὰ ἀναγκαιότατα μόριά ἐστιν, ᾗ τε δέχονται τὴν τροφὴν

Digitized by Google

καὶ ἢ τὸ περίττωμα ἀφήσουσιν[1]· οὔτε γὰρ εἶναι οὔτ' αὐξάνεσθαι ἐνδέχεται[2] ἄνευ τροφῆς. τὰ μὲν οὖν φυτά – καὶ γὰρ[3] ταῦτα ζῆν φαμέν – τοῦ μὲν ἀχρήστου περιττώματος οὐκ ἔχει τόπον· ἐκ τῆς γῆς γὰρ λαμβάνει πεπεμμένην τὴν τροφὴν ἀντὶ δὲ τούτου προΐεται[4] τὰ σπέρματα καὶ τοὺς καρπούς. τρίτον δὲ μέρος ἐν πᾶσίν ἐστι[5] τὸ τούτων μέσον, ἐν ᾧ ἡ ἀρχή ἐστιν ἡ τῆς ζωῆς.

1) ἀφιᾶσιν SUY Ald. Cam. Er. 2) om. Ald. Er.; post τροφῆς Cam. 3) καί inser. Ald. Cam. Er. 4) προσῖται ESU Ald. Cam. Er. Schol. Eph. 5) ἐστιν ἐν πᾶσι Ald. Cam. Er.

88. Περίττωμα δὲ οὐδὲν παντελῶς φαίνεται ἔχουσα (ἡ ἀκαλήφη) ἀλλ' ὁμοία κατὰ τοῦτο τοῖς φυτοῖς. Hist. Anim. IV. c. 6. p. 531. b.

§ 89.

Alimentum quotidianum est particula perexigua.

Ἐννοεῖν δὲ δεῖ ὅτι μικρῷ αὐξάνεται τὰ ζῶα καὶ τὰ φυτὰ τὸ καθ' ἡμέραν πᾶν· μικροῦ γὰρ ἂν προστιθεμένου τοῦ αὐτοῦ ὑπερέβαλε[1] τὸ μέγεθος. Gener. Anim. I. c. 18. p. 725. a.

1) ὑπερέβαλλε PY; ὑπερβάλῃ Ald. Cam. Er. Philop. sed e commentar. indices eum habuisse indicativum.

§ 90.

Quod ultimum superest de alimento post concoctionem est perexiguum.

Ὥσπερ γὰρ καὶ ἐκ τῆς πρώτης τροφῆς ἐκ πολλῆς ὀλίγον ἀποκρίνεται τὸ χρήσιμον ἐν ταῖς περὶ τοὺς καρποὺς ἐργασίαις καὶ τέλος οὐδὲν μέρος τὸ ἔσχατον πρὸς τὸ πρῶτον πλῆθός ἐστιν, οὕτω πάλιν καὶ ἐν τῷ σώματι διαδεχόμενα τὰ μέρη ταῖς ἐργασίαις τὸ τελευταῖον πάμπαν μικρὸν ἐξ ἁπάσης γίνεται τῆς τροφῆς. Gener. Anim. IV. c. 1. p. 765. b.

1) τελευταίων Cam.

§ 91.

Alimentum in fructibus purgatione quadam ad perfectionem venit.

Gener. Anim. I. c. 20. p. 728. a. Ἔστι γὰρ τὰ καταμήνια σπέρμα οὐ καθαρὸν ἀλλὰ δεόμενον ἐργασίας, ὥςπερ ἐν τῇ περὶ τοὺς καρποὺς γενέσει ὅταν ᾖ μήπω διηττημένη ἔνεστι μὲν ἡ τροφὴ δεῖται δ' ἐργασίας πρὸς τὴν κάθαρσιν.

§ 92—95.

Alimento ad seminum copiam consumtò corporis volumen diminuitur.

§ 92. Parvae igitur plantae polyspermae.

Gener. Anim. III. c. 1. p. 749. b. Ὀχευτικὰ δὲ καὶ πολύγονα [1] καὶ τὰ μικρὰ τῶν ὀρνέων ἐστὶ καθάπερ ἐνίοτε καὶ τῶν φυτῶν· ἡ γὰρ εἰς [2] τὸ σῶμα αὔξησις γίνεται περίττωμα σπερματικόν.

1) πολύτοκα Z. 2) ἐπὶ Ald. Cam. Er.

Gener. Anim. IV. c. 4. p. 771. b. 93. Οὐ μόνον δ' ἐν τοῖς πεζοῖς ἀλλὰ καὶ ἐν τοῖς πτηνοῖς καὶ ἐν τοῖς πλωτοῖς τὰ μὲν μεγάλα ὀλιγοτόκα ἐστὶ τὰ δὲ μικρὰ πολυτόκα διὰ τὴν αὐτὴν αἰτίαν, ὁμοίως δὲ καὶ τῶν φυτῶν οὐ τὰ μέγιστα φέρει πλεῖστον καρπόν.

§ 94. Multae etiam plantae propterea annuae; perennes vero emoriuntur quum nimios fructus tulerunt.

Gener. Anim. III. c. 1. p. 750. a. Ὅτι δὲ τοῖς πολυγόνοις τρέπεται εἰς τὸ σπέρμα [1] ἡ τροφὴ φανερὸν ἐκ τῶν συμβαινόντων· τῶν τε γὰρ δένδρων τὰ πολλὰ πολυκαρπήσαντα [2] λίαν ἐξαναίνεται [3] μετὰ τὴν φορὰν ὅταν μὴ ὑπολειφθῇ τῷ σώματι τροφή. καὶ τὰ ἐπέτεια ταὐτὸ πάσχειν ἔοικε, οἷον τά τε χεδροπὰ [4] καὶ ὁ σῖτος καὶ τἄλλα [5] τὰ τοιαῦτα. τὴν γὰρ τροφὴν ἀναλίσκουσι εἰς τὸ σπέρμα πᾶσαν [6]· ἔστι γὰρ πολύσπερμον τὸ γένος αὐτῶν.

Digitized by Google

1) σῶμα Y. 2) πολυκαρπίσαντα Ald. Cam. Er. Philop. 3) ἐξαυαίνεται SY; ξηραίνεται Ald. Cam. Er. Philop. et in comm.; exarescunt Gaza. 4) χεδρωπὰ Ald. Cam. Er. Philop.; χερδωπὰ S. 5 τὰ ἄλλα Ald. Cam. Er. 6) om. iid. nec Philop. habuisse videtur, sed Gaza: cibum enim omnem in semen consumunt.

§ 95. Effoetae fiunt plantae post nimios fructus.

Ὑπέρινοι γὰρ γίνονται καὶ οἱ ὄρνιθες καὶ τὰ φυτά· τούτῳ δ᾽ ἐστὶ τὸ πάθος ὑπερβολὴ περιττώματος [1] ἐκκρίσεως.

1) An legendum περιττωματικῆς?

§ 96 - 99.

Quae sit potentia soli, cui plantae innascuntur.

§ 96. Stirpes mutationes quasdam patiuntur e qualitate regionum et soli.

Ὅλως δὲ δεῖ μὴ λεληθέναι ὅτι ὥσπερ καὶ [1] τῶν Hist. Animal.
φυομένων καὶ τῶν ζώων τῶν τετραπόδων πολλὴν V. c. 11.
αἱ χῶραι ποιοῦσι διαφορὰν οὐ μόνον πρὸς τὴν p. 543. b.
ἄλλην τοῦ σώματος εὐημερίαν ἀλλὰ καὶ πρὸς τὸ [2] πλεονάκις ὀχεύεσθαι καὶ γεννᾶν, οὕτω καὶ περὶ τοὺς ἰχθῦς πολλὴν ποιοῦσι τὴν διαφορὰν αὐτοὶ οἱ τόποι οὐ μόνον κατὰ μέγεθος καὶ εὐτροφίαν ἀλλὰ καὶ κατὰ τοὺς τόκους καὶ τὰς ὀχείας.

1) om. Ald. Cam. Er. PD^{a}. 2) om. iidem et C^{a}.

§ 97. Stirpis facies mutatur, seminibus solo alieno et terrae a loco natalitio remotae immissis.

Καὶ διὰ τοῦτο ὅσα τῶν μὴ ὁμογενῶν μίγνυται Gener. Anim.
θῆλυ καὶ ἄρρεν — μίγνυται δὲ ὧν ἴσοι οἱ χρόνοι II. c. 4.
καὶ ἐγγὺς αἱ κυήσεις [1] καὶ τὰ μεγέθη τῶν σωμάτων p. 738. b.
μὴ πολὺ διέστηκεν —, τὸ μὲν πρῶτον κατὰ τὴν ὁμοιότητα γίνεται κοινὸν ἀμφοτέρων, οἷον τὰ γινόμενα ἐξ ἀλώπεκος καὶ κυνὸς καὶ πέρδικος καὶ ἀλεκτρυόνος, προϊόντος δὲ τοῦ χρόνου καὶ ἐξ ἑτέρων ἕτερα γινόμενα τέλος ἀποβαίνει κατὰ τὸ θῆλυ τὴν

Digitized by Google

μορφὴν ὥςπερ τὰ σπέρματα τὰ ξενικὰ κατὰ τὴν χώραν. αὕτη γὰρ ἡ τὴν ὕλην παρέχουσα καὶ τὸ σῶμα τοῖς σπέρμασίν ἐστιν [2].

1) κινήσεις Ald. Cam. Er. Philop. 2) καὶ τῷ σπέρματι τὸ σῶμά ἐστι iid.

§ 98. Plantae a terrae, tanquam uteri sui, qualitate afficiuntur.

Polit. VII. c. 14. (16) p. 1335. b. Ἀπολαύοντα γὰρ φαίνεται τὰ γεννώμενα [1] τῆς ἐχρύσης ὥςπερ καὶ τὰ φυόμενα τῆς γῆς.

1) Ald. Schneid.; γενόμενα Cam. Er. Bekk.; Leon. Aret. habuit γεννώμενα, vertit enim: quae fiunt.

§ 99. Cultura mutat faciem plantarum; stirpes sylvestres et domesticae.

Probl. XX. 12 p. 924. a. Διὰ τί ἡ κάππαρις οὐκ ἐθέλει ῥαδίως ἐν τοῖς ἐργασίμοις γίνεσθαι χωρίοις — πολλοὶ γὰρ πεπειράκασι καὶ ῥίζας μεταφέροντες καὶ σπέρματα καταβάλλοντες· ἐνιαχοῦ γὰρ λυσιτελεῖ μᾶλλον τῶν ῥόδων —, ἀλλὰ φύεται μάλιστα ἐπὶ τῶν τάφων [1] ὅτι ἀβατώτατος ὁ τόπος ἐστίν. περὶ δὲ δὴ τούτου καὶ ὅσα ἄλλα τοιαῦτα δεῖ λαβεῖν ὅτι οὐχ ἅπαντα ἐκ τῆς αὐτῆς ὕλης γίνεται οὐδ' αὔξεται ἀλλ' ἔνια ἐξ ἄλλων φθορᾶς καὶ ἐξ ἀρχῆς γίνεται καὶ αὐξάνεται [2] οἷον οἱ φθεῖρες καὶ αἱ τρίχες ἐν τῷ σώματι διαφθειρομένης τῆς τροφῆς καὶ ἀεὶ τὸ χεῖρον ἔχοντος [3]. ὥςπερ οὖν καὶ τῶν ἐν σώματι ἔνια γίνεται ἐκ περιττώματος τροφῆς, τοῦτο δ' ἐστὶν ἀπεψία καὶ οὗ [4] μὴ ἐδύνατο κρατῆσαι ἡ φύσις, τὰ μὲν προχειρότατα εἰς κύστιν καὶ κοιλίαν ἀποκρίνεται, ἐξ ἐνίων δὲ ζῶα γίνεται διὸ καὶ αὐξάνονται ταῦτα ἐν γήρᾳ καὶ νόσοις, οὕτως ἐν τῇ γῇ τὰ μὲν ἐκ πεπεμμένης τῆς τροφῆς γίνεται καὶ αὐξάνεται τὰ δὲ ἐκ περιττωμάτων καὶ ἐναντίως ἐχόντων. ἡ δὲ γεωργία πέττει καὶ ἐνεργὸν ποιεῖ τὴν τροφήν· ἐξ ἧς συνίστανται οἱ ἥμεροι [5] καρποί· ἃ μὲν οὖν ἐκ

Digitized by Google

τοιαύτης γίνεται ἡμερότητος ἥμερα καλεῖται διὰ τὸ ἀπὸ τέχνης ὠφελεῖσθαι ὥσπερ παιδευόμενα. ὅσα δὲ μὴ δύναται ἢ καὶ ἐξ ἐναντίως ἔχοντος συνίσταται ταῦτα ἄγριά ἐστι καὶ οὐκ ἐθέλει γίνεσθαι ἐν γεωργησίμῳ. ἡ γὰρ γεωργία φθείρει [6] αὐτὰ παιδεύουσα· ἐκ γὰρ φθορᾶς γίνεται· ὧν καὶ [7] ἡ κάππαρίς ἐστιν.

1) τάφρων Ald. Cam. Er. 2) αὔξεται Ald. Cam. Er. 3) ἔχοντες iid. 4) οὐ iid. 5) ἡμέριοι Er. 6) Scripti et impressi omnes φέρει, quod sensum non habet; dedi φθείρει e coniectura, profecta e translatione Gazae cultus enim, dum ea melioribus instituere moribus contendit, depravat atque pervertit. 7) om. Cam.

§ 100.

Plantae laetissime crescunt ab aqua pluviis deducta.

Τῶν δ᾽ ἰχθύων τὸ πλεῖστον γένος εὐθηνεῖ μᾶλλον, ὥσπερ εἴρηται πρότερον ἐν τοῖς ἐπομβρίοις ἔτεσιν· οὐ γὰρ μόνον τότε πλείω [1] τροφὴν ἔχουσιν ἀλλὰ καὶ ὅλως τὸ ὄμβριον συμφέρει καθάπερ καὶ τοῖς ἐκ τῆς γῆς φυομένοις· καὶ γὰρ τὰ λάχανα καίπερ ἀρδευόμενα ὅμως ἐπιδίδωσιν ὑόμενα πλέον [2]· τὸ δ᾽ αὐτὸ καὶ οἱ κάλαμοι πάσχουσιν οἱ πεφυκότες ἐν ταῖς λίμναις· οὐδὲν γὰρ ὡς εἰπεῖν αὐξάνονται μὴ γινομένων ὑδάτων. Hist. Animal. VII. c. 19. p. 601. b.

1) om. PD[a] Ald. Cam. Er. 2) πλεῖον Ald. Cam. Er.

§ 101.

Aquae qualitates mutant plantarum colores.

Μάλιστα δὲ μεταβάλλουσι καὶ τὰ φύσει μονόχροα [1] μὲν ὄντα τῷ γένει δὲ πολύχροα διὰ τὰ ὕδατα· τὰ μὲν γὰρ θερμὰ λευκὴν ποιεῖ τὴν τρίχα τὰ δὲ ψυχρὰ μέλαιναν ὥσπερ καὶ ἐπὶ τῶν φυτῶν. Gener. Anim. V. c. 6. p. 786. a.

1) ὁλόχροα Ald. Cam. Er.

Digitized by Google

§ 102.

Sapores in fructibus plantarum ab aqua et terra pendere videntur.

Sens.&Sens. c. 4. p. 441. *Φαίνονται δ᾽ οἱ χυμοὶ ὅσοιπερ καὶ ἐν τοῖς περικαρπίοις οὗτοι ὑπάρχοντες καὶ ἐν τῇ γῇ. διὸ καὶ πολλοί φασι τῶν ἀρχαίων φυσιολόγων τοιοῦτον εἶναι τὸ ὕδωρ δι᾽ οἵας ἂν γῆς πορεύηται*[1] *καὶ τοῦτο δῆλόν ἐστιν ἐπὶ τῶν ἁλμυρῶν ὑδάτων μάλιστα· οἱ γὰρ ἅλες γῆς τι εἶδός εἰσιν. . . . εὐλόγως δ᾽*[2] *ἐν τοῖς φυομένοις τὸ τῶν χυμῶν γίνεται γένος μάλιστα.*

1) πορεύηται γῆς L Ald. Cam. Er. Al. Aph. 2) διὸ εὐλόγως LSU Ald. Cam. Er. Al. Aph. cont. et comm.; εὐλόγως δὴ P.

§ 103.

Sapores, eorum causae instrumenta ac mutationes.

Sens.&Sens. c. 4. p. 441. a. *Ἡ μὲν οὖν τοῦ ὕδατος φύσις βούλεται ἄχυμος εἶναι· ἀνάγκη δ᾽ ἢ ἐν αὐτῷ*[1] *τὸ ὕδωρ ἔχειν τὰ γένη τῶν χυμῶν ἀναίσθητα διὰ μικρότητα*[2] *καθάπερ Ἐμπεδοκλῆς φησίν, ἢ ὕλην τοιαύτην ἐνεῖναι * οἷον πανσπερμίαν χυμῶν καὶ ἅπαντα μὲν ἐξ ὕδατος γίγνεσθαι ἄλλα*[3] *δ᾽ ἐξ ἄλλου μέρους, ἢ μηδεμίαν ἔχοντος διαφορὰν τοῦ ὕδατος τὰ ποιοῦν αἴτιον εἶναι, οἷον εἰ τὸ θερμὸν καὶ τὸν ἥλιον φαίη τις. τούτων δ᾽*[4] *ὡς μὲν Ἐμπεδοκλῆς λέγει λίαν εὐσύνοπτον τὸ ψεῦδος· ὁρῶμεν γὰρ μεταβάλλοντας ὑπὸ τοῦ θερμοῦ τοὺς χυμοὺς ἀφαιρουμένων τῶν περικαρπίων εἰς τὸν ἥλιον καὶ πυρουμένων, ὡς οὐ τῷ ἐκ τοῦ ὕδατος ἕλκειν τοιούτους γινομένους*[5] *ἀλλ᾽ ἐν αὐτῷ τῷ περικαρπίῳ μεταβάλλοντας· καὶ ἐξικμαζομένους*[6] *δὲ*[7] *διὰ τὸν χρόνον αὐστηροὺς ἐκ γλυκέων καὶ πικροὺς καὶ παντοδαποὺς γινομένους, καὶ ἑψομένους*[8] *εἰς πάντα τὰ γένη τῶν χυμῶν ὡς εἰπεῖν μεταβάλλοντας*[9]. *ὁμοίως δὲ καὶ τὸ πανσπερ-*

Digitized by Google

μίας [10] εἶναι τὸ ὕδωρ ὕλην ἀδύνατον· ἐκ τοῦ αὐτοῦ γὰρ ὁρῶμεν ὡς ἐκ τῆς αὐτῆς [11] τροφῆς γινομένους ἑτέρους χυμούς. λείπεται δὴ [12] τῷ πάσχειν τι τὸ ὕδωρ μεταβάλλειν, . . . πάσχειν γὰρ πέφυκε τὸ ὑγρὸν ὥσπερ καὶ τἆλλα [13] ὑπὸ τοῦ ἐναντίου· ἐναντίον δὲ τὸ ξηρόν. . . . ὥσπερ οὖν οἱ ἐναποπλύνοντες ἐν τῷ ὑγρῷ τὰ χρώματα καὶ τοὺς χυμοὺς τοιοῦτον ἔχειν ποιοῦσι [14] τὸ ὕδωρ, οὕτω καὶ ἡ φύσις τὸ ξηρὸν [15] καὶ τὸ γεῶδες καὶ διὰ τοῦ ξηροῦ καὶ [16] γεώδους διηθοῦσα καὶ κινοῦσα τῷ θερμῷ ποιόν τι τὸ ὑγρὸν παρασκευάζει. καί ἐστι τοῦτο χυμὸς τὸ γιγνόμενον ὑπὸ τοῦ εἰρημένου ξηροῦ πάθος ἐν τῷ ὑγρῷ τῆς γεύσεως τῆς κατὰ δύναμιν ἀλλοιωτικὸν εἰς ἐνέργειαν [17].

1) αὐτῷ Ald. Cam. Al.Aph. 2) σμικρότητα L Ald. Cam. Er. Al.Aph. 3) ἄλλο PSU. * εἶναι Al.Aph. 4) om. Ald. Cam. Er. 5) γενομένους LM Ald. Cam. Er. Al.Aph. 6) ἐξικμασμένους SU. 7) om. Ald. Er. Al.Aph.; καὶ κειμένους inser. EMY ut videtur, Bekk.; καὶ κινουμένους inser. LSU et pr. P Cam. Lat. vett. habuerunt κειμένους; videmus enim permutari per calores sapores oblatis fructibus ad solem et ignitis tanquam non in aqua trahere sapores tales factos sed in ipso fructu transmutantes resudantes et iacentes propter tempus austeros e dulcibus et amaros et omnimodos factos et decoctos et ad omnia saporum genera ut est dicere transmutatos Mart.; Vers. habet et ante resudantes et in ab aqua; Bern. commutari, ab aquis, et resudantes. Exhibui lectionem Aldinae et Alex. Aph. addito tantum δὲ; κινουμένους h. l. plane non aptum, multo minus vero κειμένους. Praedicata enim ἐξικμάζεσθαι et ἕψεσθαι proprie ad τὰ περικάρπια referri debebant, ita ut ἐξικμαζομένων et ἑψομένων dicendum fuisset; sed admissa attractione quadam per enallagen ad χυμοὺς retulit scriptor; verum κεῖσθαι χυμοὺς dici nequit. Vides autem voci ἐξικμαζομένους adiecisse explicationis causa glossatorem κειμένους, nec male, id in contextum irrepsisse, ab aliis parum aptum iudicantibus in κινουμένους, q. v. frequenti usu tritam habebant, mutatum esse. Quam dedi lectio-

Digitized by Google

nem et rite procedit et sententiam aptam praestat; verba enim ἐξικμαζομένους διὰ τὸν χρόνον respondent praegressis ἀφαιρουμένων εἰς τὸν ἥλιον καὶ πυρουμένων. Sensus est: Fructibus decerptis atque soli expositis sapor eorum mutatur, quae mutatio non ab aqua pendet sed in ipso pericarpio procedit. Sed quum fructus etiam temporis decursu humorem exhalent, saporem dulcem in austerum amarum aliumve abire atque mutari videmus, atque quum decoquantur in omnia fere saporum genera abire. 8) ἑψυμένους Ald. Al.Aph., sed ἑψομένους in comm.; ἑψυγμένους Cam.; γρ. ἑψυγμένους Casaub. in marg. 9) μετ. ὡς εἰπεῖν L Ald. Cam. Er. Al.Aph. 10) πανσπερμίαν LUY Ald. Cam. Er. 11) om. P; ἐκ τῆς αὐτῆς om. EMY. 12) δὲ EMPSUY. 13) τἄλλα Ald. Cam. 14) ποιοῦσιν ἔχειν L Ald. Cam. Er. Al.Aph. 15) ἐναποκλείει τῷ ὑγρῷ inser. Cam. 16) τοῦ inser. L Ald. Cam. Er. Al.Aph. 17) ἀνέργειαν Ald.

§ 104.

Colores, eorum causae et mutationes; principalis color plantarum viridis.

Color. c. 5. p. 794-797. Τὰ δὲ τριχώματα καὶ τὰ πτερώματα καὶ τὰ ἄνθη καὶ οἱ καρποὶ καὶ τὰ φυτὰ πάντα ὅτι μὲν ἅμα τῇ πέψει πάσας τὰς τῶν χρωμάτων λαμβάνει μεταβολὰς φανερὸν ἐκ πολλῶν. . . . ἐν πᾶσι δὴ [1] τοῖς φυτοῖς ἀρχὴ τὸ ποῶδές ἐστι τῶν χρωμάτων· καὶ γὰρ οἱ βλαστοὶ καὶ τὰ φύλλα καὶ οἱ καρποὶ γίνονται κατ' ἀρχὰς ποώδεις. . . . διὸ καὶ πάντων οἱ παλαιοὶ βλαστοὶ πολὺ μᾶλλόν εἰσι τῶν νέων μέλανες· οἱ δὲ ξανθότεροι διὰ τὸ μήπω τὸ ὑγρὸν ἐν αὐτοῖς μελαίνεσθαι. τῆς γὰρ αὐξήσεως αὐτῶν βραδυτέρας γινομένης καὶ τῆς ὑγρασίας πολὺν χρόνον ἐμμενούσης διὰ τὸ ψυχόμενον ἰσχυρῶς μελαίνεσθαι τὸ ὑγρόν, γίνεται πρασοειδὲς ἀκράτῳ τῷ μέλανι κεραννύμενον. ἐν ὅσοις δὲ τὸ ὑγρὸν μὴ μίγνυται ταῖς τοῦ ἡλίου αὐγαῖς, τούτων διαμένει τὸ χρῶμα λευκόν, ἐὰν μὴ χρονιζόμενον καὶ καταξηραινόμενον μελανθῇ πρότερον. διὸ καὶ τὰ μὲν ὑπὲρ γῆς χλωρὰ πάντων τῶν φυομένων τὸ πρῶτόν ἐστι, τὰ δὲ κατὰ γῆς [2] καυλοὶ καὶ ῥίζαι λευκαί. καὶ οἱ βλαστοὶ κατὰ

γῆς μὲν ὄντες εἰσὶ λευκοί, περιαιρεθείσης δὲ τῆς γῆς τὸ μὲν ἐξ ἀρχῆς ὡς προείρηται [3] πάντες γίνονται ποώδεις διὰ τὸ καὶ τὴν ὑγρασίαν τὴν διὰ τῶν βλαστῶν εἰς αὐτοὺς διηθουμένην τοιαύτην ἔχειν τὴν τοῦ χρώματος φύσιν καὶ ταχέως αὐτὴν εἰς τὴν αὔξησιν καταναλίσκεσθαι τὴν τῶν καρπῶν .... ἐπεὶ δὲ τὰ πλεῖστα γίνεται τῶν χρωμάτων πλειόνων κεραννυμένων ἀλλήλοις, φανερὸν ὅτι καὶ τὰς ἐν τοῖς φυτοῖς χρόας ἀνάγκη τὰς αὐτὰς ἔχειν κράσεις· διὰ γὰρ τούτων τὸ ὑγρὸν διηθούμενον καὶ μεθ᾽ ἑαυτοῦ [4] συνεκκλύζον ἁπάσας λαμβάνει τὰς τῶν χρωμάτων δυνάμεις. καὶ τούτου συνεψομένου περὶ τὰς τῶν καρπῶν πέψεις ὑπό τε τοῦ ἡλίου καὶ τῆς τοῦ ἀέρος θερμότητος, ἕκαστα καθ᾽ ἑαυτὰ συνίσταται τῶν χρωμάτων. ... ὅτι δὲ χρωμάτων ὕστερον ἐπιγινομένων ὅταν κρατῆται τὰ πρότερον τὸ χρῶμα τῶν καρπῶν μεταβάλλει καὶ διὰ τῶν τοιούτων ῥᾴδιον συνιδεῖν. καὶ γὰρ τῆς ῥοιᾶς ὁ καρπὸς καὶ τὰ τῶν ῥόδων φύλλα κατ᾽ ἀρχὰς μὲν [5] γίνεται λευκὰ τὸ δὲ τελευταῖον ἤδη χρωζομένων [6] ἐν αὐτοῖς τῶν χυλῶν ὑπὸ τῆς πέψεως ἀποχραίνεται καὶ μεταβάλλει πάλιν εἰς τὸ τοῦ ἁλουργοῦ χρῶμα καὶ τὸ φοινικιοῦν [7] ... ἐν ὅσοις δ᾽ ὑπάρχει τῶν φυτῶν ἓν χρῶμα μόνον, οἷον τὸ λευκὸν ἢ τὸ μέλαν ἢ τὸ φοινικιοῦν ἢ τὸ ἁλουργές [8], τούτων δὲ πάντων [9] οἱ καρποὶ διαμένουσιν ἀεὶ τὴν αὐτὴν ἔχοντες τοῦ χρώματος φύσιν ὅταν ἅπαξ ἐκ τοῦ ποώδους εἰς ἄλλην χρόαν μεταβάλλωσιν. τὰ δ᾽ ἄνθη τοῖς καρποῖς ἐπ᾽ ἐνίων μὲν ὁμόχροα συμβαίνει γίνεσθαι καθάπερ ἔχει καὶ ἐπὶ τῆς ῥοιᾶς· καὶ γὰρ ὁ καρπὸς αὐτῆς γίνεται φοινικιοῦς καὶ τὸ ἄνθος· ἐπ᾽ ἐνίων δὲ πολὺ τῷ χρώματι διαφέρει. ... διὸ καὶ τὰ μὲν ἄνθη τῷ χρώματι [10] διαμένει [11], οἱ δὲ καρποὶ πεττόμενοι μεταβάλλουσιν· τὰ μὲν γὰρ διὰ μικρότητα τῆς τροφῆς ταχέως ἐκπέττεται, οἱ δὲ καρποὶ διὰ τὸ πλῆθος τῆς ὑγρασίας εἰς πάσας ἅμα

τῇ πέψει τὰς κατὰ φύσιν χρόας μεταβάλλουσιν . . . τὰ δὲ φύλλα[12] *τῶν πλείστων δένδρων τὸ τελευταῖον γίνεται ξανθὰ διὰ τὸ τῆς τροφῆς ὑπολειπούσης*[13] *φθάνειν αὐτὰ καταξηραινόμενα πρότερον ἢ μεταβάλλειν εἰς τὸ κατὰ φύσιν χρῶμα, ἐπεὶ καὶ τῶν ἀπορρεόντων*[14] *καρπῶν ἔνιοι γίνονται τῷ χρώματι ξανθοὶ διὰ τὸ καὶ τούτων τῆς πέψεως πρότερον τὴν τροφὴν ὑπολείπειν. ἔτι δὲ ὅ τε σῖτος καὶ τὰ φυόμενα πάντα· καὶ γὰρ ταῦτα τὸ τελευταῖον γίνεται ξανθά. τὸ γὰρ ὑγρὸν ἐν αὐτοῖς οὐκέτι μελαινόμενον διὰ τὸ καταξηραίνεσθαι ταχέως ποιεῖ τὴν τοῦ χρώματος μεταβολήν. μελαινόμενον γὰρ καὶ τῷ χλωρῷ κεραννύμενον γίνεται καθάπερ εἴρηται ποῶδες· ἀσθενεστέρου δὲ τοῦ μέλανος ἀεὶ γινομένου πάλιν κατὰ μικρὸν εἰς τὸ χλωρὸν μεταβάλλει χρῶμα καὶ τὸ τελευταῖον γίνεται ξανθόν.*

1) *δὲ* L Ald. Cam. Er. 2) *οἷον* inser. Ald. Cam. Er. 3) *ὥσπερ εἴρηται* G^a Ald. Cam. Er. 4) *ἑαυτὸ* Ald. Cam. Er. 5) *ἤδη* inser. G^a Ald. Cam. Er. 6) *χρονιζομένων* Ald. Cam.; *χρωνιζομένων* Er. 7) *φοινικοῦν* Ald. Cam. Er. et infra. Secutus sum Bekkerum, quamquam idem in Meteorol. III. c. 2 et 4. ubique *φοινικοῦς* exhibuit. 8) *ἁλουργόν* LX Ald. Cam. Er. 9) *ἁπάντων* Ald. Cam. Er. 10) *τῶν χρωμάτων* iid. 11) *διαμένοι* Cam. 12) *πολλὰ* ELMPX$G^a H^a$ Ald. Er.; *φύλλα* Cam. Bekk. 13) *ἀπολειπούσης* LPX Ald. Cam. Er. 14) *ἐπιρρεόντων* ELM $G^a H^a$ Ald. Cam. Er.

§ 105.

Plantarum defoliatio eiusque causae. Tempestates anni sunt summa vitae vegetabilis momenta.

Gener. Anim. V. c. 3. p. 783. b.

Φαλακροῦνται δ' ἐπιδήλως οἱ ἄνθρωποι μάλιστα τῶν ζώων· ἔστι δέ τι καθόλου τὸ τοιοῦτον πάθος· καὶ γὰρ τῶν φυτῶν τὰ μὲν ἀείφυλλα τὰ δὲ φυλλοβολεῖ[1]*, καὶ τῶν ὀρνίθων οἱ φωλεύοντες ἀποβάλλουσι τὰ πτερά. τοιοῦτον δέ τι πάθος καὶ ἡ φαλακρότης ἐστὶν ἐπὶ τῶν ἀνθρώπων, ὅσοις συμβαί-*

Digitized by Google

νει φαλακροῦσθαι· κατὰ μέρος μὲν γὰρ ἀπορρεῖ καὶ τὰ φύλλα τοῖς φυτοῖς πᾶσι καὶ τὰ πτερὰ καὶ αἱ τρίχες τοῖς ἔχουσιν. ὅταν δ' ἀθρόον γένηται τὸ πάθος λαμβάνει τὰς εἰρημένας ἐπωνυμίας· φαλακροῦσθαί τε γὰρ λέγεται καὶ φυλλορροεῖν [2] καὶ πτερορροεῖν [3]· αἴτιον δὲ τοῦ πάθους ἔνδεια ὑγρότητος θερμῆς, τοιοῦτον δὲ μάλιστα τῶν ὑγρῶν τὸ λιπαρόν· διὸ καὶ τῶν φυτῶν τὰ λιπαρὰ ἀείφυλλα μᾶλλον [4]. ἀλλὰ περὶ μὲν τούτων ἐν ἄλλοις τὸ αἴτιον λεκτέον· καὶ γὰρ ἄλλα συναίτια τοῦ τοιούτου πάθους αὐτοῖς. γίνεται δὲ τοῖς μὲν φυτοῖς ἐν τῷ χειμῶνι τὸ πάθος· αὕτη γὰρ ἡ μεταβολὴ κυριωτέρα τῆς ἡλικίας. . . . τοῦ δὲ τὰ μὲν φωλεύοντα πάλιν p. 784. a. δασύνεσθαι καὶ τὰ φυλλοβολήσαντα πάλιν φύειν φύλλα, τοῖς δὲ φαλακροῖς μὴ ἀναφύεσθαι πάλιν, αἴτιον ὅτι τοῖς μὲν αἱ ὧραι τροπαί εἰσι τοῦ σώματος μᾶλλον, ὥστ' ἐπεὶ μεταβάλλουσιν αὗται μεταβάλλει καὶ τὸ φύειν καὶ τὸ ἀποβάλλειν τοὺς μὲν τὰ πτερὰ καὶ τὰς τρίχας τὰ δὲ φύλλα τὰ φυτά. τοῖς δ' ἀνθρώποις κατὰ τὴν ἡλικίαν γίνεται χειμὼν καὶ θέρος καὶ ἔαρ καὶ μετόπωρον, ὥστ' ἐπεὶ αἱ ἡλικίαι οὐ μεταβάλλουσιν οὐδὲ τὰ πάθη τὰ διὰ ταύτας μεταβάλλει καίπερ τῆς αἰτίας ὁμοίας οὔσης.

1) φυλλοβολῇ Er. 2) φυλλορρεῖν Bekk. 3) καὶ πτερορροεῖν om. PSYZ Ald. Cam., habent Er. Philop. Gaza, uncis inclusit Bekk. 4) μᾶλλον ἀείφυλλα Ald. Cam. Er.

CAPUT OCTAVUM.

De generatione plantarum.

§ 106.

Genera sunt plantarum et generatio est, ut possint aeternitatis esse participes.

Ἐπεὶ γάρ ἐστι τὰ μὲν ἀΐδια καὶ θειότερα [1]) τῶν Gener. Anim. II. c. 1. p. 731. b. ὄντων, τὰ δ' ἐνδεχόμενα καὶ εἶναι καὶ μὴ εἶναι,

τὸ δὲ καλὸν καὶ τὸ θεῖον αἴτιον ἀεὶ κατὰ τὴν αὑτοῦ φύσιν τοῦ βελτίονος ἐν τοῖς ἐνδεχομένοις, τὸ δὲ μὴ ἀΐδιον ἐνδεχόμενόν ἐστι καὶ εἶναι καὶ μεταλαμβάνειν καὶ τοῦ χείρονος καὶ τοῦ βελτίονος, βέλτιον δὲ ψυχὴ μὲν σώματος, τὸ δ' ἔμψυχον τοῦ ἀψύχου διὰ τὴν ψυχὴν καὶ τὸ εἶναι τοῦ μὴ εἶναι καὶ τὸ ζῆν τοῦ μὴ ζῆν, διὰ ταύτας τὰς αἰτίας γένεσις ζώων ἐστίν. ἐπεὶ γὰρ ἀδύνατος ἡ φύσις τοῦ τοιούτου γένους ἀΐδιος εἶναι, καθ' ὃν ἐνδέχεται τρόπον κατὰ τοῦτόν ἐστιν ἀΐδιον τὸ γινόμενον. ἀριθμῷ μὲν οὖν ἀδύνατον· ἡ γὰρ οὐσία τῶν ὄντων ἐν τῷ καθ' ἕκαστον, τοιοῦτον δ' εἴπερ ἦν ἀΐδιον ἂν ἦν· εἴδει δ' ἐνδέχεται. διὸ γένος ἀεὶ ἀνθρώπων καὶ ζώων ἐστὶ καὶ φυτῶν.

1) Sic Y; θειότατα PS Ald. Cam. Er. Philop. Gaza; θεῖα Bekk. e cod. Z ut videtur. 2) αὐτοῦ Ald. Cam. Er.

§. 107.

Essentia cuiusque corporis est causa, quod ex omni idem semper genus existit.

Gen. & inter. II. c. 6. p. 333. b.

Τὰ γὰρ γινόμενα φύσει πάντα γίνεται ἢ ἀεὶ ὡδὶ ἢ ὡς ἐπὶ τὸ πολύ, τὰ δὲ παρὰ [1] τὸ ἀεὶ καὶ ὡς ἐπὶ τὸ πολὺ ἀπὸ ταὐτομάτου καὶ ἀπὸ τύχης. τί οὖν τὸ αἴτιον τοῦ ἐξ ἀνθρώπου ἄνθρωπον ἢ ἀεὶ ἢ ὡς ἐπὶ τὸ πολὺ καὶ ἐκ τοῦ [2] πυροῦ πυρὸν ἀλλὰ μὴ ἐλαίαν; ἢ καὶ ἐὰν ὡδὶ συντεθῇ ὀστοῦν; οὐ γὰρ ὅπως [3] ἔτυχε συνελθόντων οὐδὲν γίνεται, καθάπερ [4] ἐκεῖνός (Ἐμπεδοκλῆς) φησιν, ἀλλὰ λόγῳ τινί. τί οὖν τούτου [5] αἴτιον; οὐ γὰρ δὴ πῦρ γε ἢ γῆ. ἀλλὰ μὴν οὐδ' ἡ φιλία καὶ τὸ νεῖκος· συγκρίσεως γὰρ μόνον τὸ δὲ διακρίσεως αἴτιον· τοῦτο δ' ἐστὶν ἡ οὐσία ἡ [6] ἑκάστου, ἀλλ' οὐ μόνον „μῖξις τε διάλλαξίς τε μιγέντων" ὥσπερ ἐκεῖνός φησιν.

1) ἐπὶ Er. adscripto in marg. παρὰ. 2) om. Cam. 3) ὡς Ald. Er. Phil. cont. sed ὅπως in comm. 4) καθὰ Ald. Er.

κατὰ Philop. cont., καθὼς in Comm. Cf. Lobeck ad Phryn. p. 426; locis Aristotelicis ab hoc laudatis καθάπερ reposuit e codd. Bekker. 5) Sic Philop. comm.; τούτων Bekk.; τὸ τούτων L. Ald. Cam. Er. Philop. cont. Τούτου, quod Philop. explicat τῆς κατὰ λόγον καὶ ἐν τάξει τινὶ γενέσεως, vera est lectio. 6) γε inser. Ald. Cam. Er. Philop.

§ 108.

E semine non fortuitum quoddam sed idem semper genus evadit.

Καὶ τὰ μόρια τῶν ζώων ἀπὸ τυχῆς γενέσθαι τὰ πλεῖστα φησίν (Ἐμπεδοκλῆς). *εἰσὶ δέ τινες οἳ καὶ τοῦ οὐρανοῦ τοῦδε καὶ τῶν κοσμικῶν πάντων αἰτιῶνται τὸ αὐτόματον.... καὶ μάλα τοῦτό γε αὐτὸ θαυμάσαι ἄξιον λέγοντας* [1] *τὰ μὲν ζῶα καὶ τὰ φυτὰ ἀπὸ τύχης μήτε εἶναι μήτε γίνεσθαι ἀλλ' ἤτοι φύσιν ἢ νοῦν ἤ τι τοιοῦτον ἕτερον εἶναι τὸ αἴτιον — οὐ γὰρ ὅτι ἔτυχεν ἐκ τοῦ σπέρματος ἑκάστου γίνεται ἀλλ' ἐκ μὲν τοῦ τοιουδὶ ἐλαία ἐκ δὲ τοῦ τοιουδὶ ἄνθρωπος —, τὸν δ' οὐρανὸν καὶ τὰ θειότατα* [2] *τῶν φανερῶν ἀπὸ τοῦ αὐτομάτου γενέσθαι, τοιαύτην δ' αἰτίαν μηδεμίαν εἶναι* [3] *οἵαν τῶν ζώων καὶ τῶν φυτῶν.* Phys. II. c. 4 p. 196. a.

1) τοῦτο θαυμάσαι ἄξιον, λέγοντες γὰρ Bekk. e cod. E (γὰρ et λέγοντες etiam J.). γε αὐτὸ habent FJ Ald. Cam. Er. λέγοντας omisso γὰρ F Ald. Cam. Er. Philop.; neque lat. Mart. Vers. Bern. γὰρ habuerunt. Sed lat. Kell.: et multum hoc ipsum admirari dignum enim dicentes animalia. Retinui vulgatam, quae et sensu et propter structuram magis apta esse videtur. 2) θειότερα FJ Ald. Gam. Er. Philop. cont. sed θειότατα in comm. 3) om. Philop. et lat. Mart. Vers. Bern.

§ 109.

Vis s. anima vegetativa est eadem ac generatrix.

Ἡ δὲ διάκρισις γίνεται τῶν μορίων οὐχ ὥς τινες ὑπολαμβάνουσι διὰ τὸ πεφυκέναι φέρεσθαι τὸ ὅμοιον πρὸς τὸ ὅμοιον.... ὕλην μὲν οὖν παρέχει τὸ θῆλυ Gener. Anim. II. c. 4. p. 740. b.

Digitized by Google

τὴν δ᾿ ἀρχὴν τῆς κινήσεως τὸ ἄρρεν. ὥςπερ δὲ τὰ ὑπὸ τῆς τέχνης γινόμενα γίνεται διὰ τῶν ὀργάνων, ἔστι δ᾿ ἀληθέστερον εἰπεῖν διὰ τῆς κινήσεως αὐτῶν, αὕτη δ᾿ ἐστὶν ἡ ἐνέργεια τῆς τέχνης, ἡ δὲ τέχνη μορφὴ τῶν γινομένων ἐν ἄλλῳ, οὕτως ἡ τῆς θρεπτικῆς ψυχῆς [1] δύναμις, ὥςπερ [2] καὶ ἐν αὐτοῖς τοῖς ζώοις καὶ τοῖς φυτοῖς ὕστερον ἐκ τῆς τροφῆς ποιεῖ τὴν αὔξησιν, χρωμένη οἷον ὀργάνοις θερμότητι καὶ ψυχρότητι —, ἐν γὰρ τούτοις ἡ κίνησις ἐκείνης [3] καὶ λόγῳ τινὶ ἕκαστον γίνεται —, οὕτω καὶ ἐξ ἀρχῆς συνίστησι τὸ φύσει γινόμενον. ἡ γὰρ αὐτή ἐστιν ὕλη ᾗ αὐξάνεται καὶ ἐξ ἧς συνίσταται τὸ πρῶτον ὥστε καὶ ἡ ποιοῦσα δύναμις ταὐτὸ τῷ ἐξ ἀρχῆς· μείζων [4] δὲ αὕτη [5] ἐστίν. εἰ οὖν αὕτη ἐστὶν ἡ θρεπτικὴ ψυχή, αὕτη ἐστὶ καὶ ἡ γεννῶσα.
p. 741. a. καὶ τοῦτ᾿ ἐστὶν ἡ φύσις ἡ [6] ἑκάστου ἐνυπάρχουσα καὶ ἐν φυτοῖς καὶ ἐν [7] ζώοις πᾶσιν.

1) om. Ald. Er. 2) εἴπερ Ald. 3) ἐκείνοις Cam. 4) μεῖζον Cam. Qua in voce quemque offendere debere dixerim: nam etsi sensum haec habeant ab hoc tamen loco plane aliena sunt. Philoponi interpretatio satis contorta. Conieci olim: ταὐτὸ τῷ ἐξ ἀρχῆς γεννῶντι ἐστίν; αὕτη enim abest a nonn. edd. et μείζων δὲ cum γεννῶντι quandam habet similitudinem. 5) om. Ald. Er. 6) om. Ald. Cam. Er. 7) om. iid.

§ 110.

Plantarum operatio praecipua est perficere fructum et semina.

Gener. Anim. I. c. 4. p. 717. a. Ἔστι δὲ τῶν μὲν πλείστων ζώων ἔργον σχεδὸν οὐδὲν ἄλλο πλὴν ὥςπερ τῶν φυτῶν σπέρμα καὶ καρπός.

§ 111.

Seminis est natura proferre alteram stirpem eiusdem generis.

Hist. Animal. VIII. c. 1. p. 588. b. Τῶν τε γὰρ φυτῶν ἔργον οὐδὲν ἄλλο φαίνεται πλὴν οἷον αὐτὸ ποιῆσαι πάλιν ἕτερον, ὅσα γίνεται διὰ σπέρματος.

Digitized by Google

§ 112.

Ut omnia corpora fiunt e substrato quodam sic plantae quoque e semine.

Ὅτι δὲ καὶ αἱ οὐσίαι[1] καὶ ὅσα ἄλλα ἁπλῶς ὄντα ἐξ ὑποκειμένου τινὸς[2] γίνεται ἐπισκοποῦντι γένοιτ᾽ ἂν φανερόν. ἀεὶ γάρ ἐστι τι ὃ ὑπόκειται ἐξ οὗ γίνεται τὸ γινόμενον, οἷον τὰ φυτὰ καὶ τὰ ζῶα ἐκ σπέρματος. Phys. I. c. 7. p. 190. b.

1) ἡ οὐσία Ald. Cam. Er. Philop. cont. et comm. Pluralem habent lat. Kell. Vers. Bern., singularem Asul.
2) om. Philop.

§ 113.

Plantae fiunt aut e semine aut e stolonibus deplantatis aut e germinibus lateralibus.

Ἡ δὲ τῶν ὀστρακοδέρμων συνίσταται φύσις τῶν μὲν αὐτομάτως, ἐνίων δὲ προϊεμένων τινὰ δύναμιν ἀφ᾽ αὑτῶν[1], πολλάκις δὲ γινομένων καὶ τούτων ἀπὸ συστάσεως αὐτομάτης[2]. δεῖ δὲ λαβεῖν τὰς γενέσεις τὰς τῶν φυτῶν. τούτων γὰρ γίνεται[3] τὰ μὲν ἐκ[4] σπέρματος τὰ δ᾽ ἀπὸ σπαραγμάτων ἀποφυτευομένων ἔνια δὲ τῷ παραβλαστάνειν οἷον τὸ τῶν κρομμύων γένος. Gener Anim. III. c. 11. p. 761. b.

1) ἀπ᾽ αὐτῶν Ald. Cam. Er. 2) αὐτομάτη Ald. Er. αὐτομάτως Cam. 3) γίνονται Ald. Cam. Er. 4) ἀπὸ Bekk.

§ 114.

Plantae aut e semine proveniunt aut generatione spontanea; nonnullae parasiticae.

Κοινὸν μὲν οὖν συμβέβηκε καὶ ἐπὶ τῶν ζώων ὥσπερ καὶ ἐπὶ τῶν φυτῶν· τὰ μὲν γὰρ ἀπὸ σπέρματος ἑτέρων φυτῶν, τὰ δ᾽ αὐτόματα γίνεται, συστάσης[1] τινὸς τοιαύτης ἀρχῆς, καὶ τούτων τὰ μὲν ἐκ τῆς γῆς λαμβάνει τὴν τροφὴν τὰ δ᾽ ἐν ἑτέροις Hist. Animal. V. c. 1. p. 539. a.

Digitized by Google

ἐγγίνεται φυτοῖς ὥςπερ εἴρηται ἐν τῇ θεωρίᾳ τῇ περὶ[2] φυτῶν. οὕτω καὶ τῶν ζώων τὰ μὲν ἀπὸ ζώων γίνεται κατὰ συγγένειαν τῆς μορφῆς. τὰ δ' αὐτόματα καὶ οὐκ ἀπὸ συγγενῶν, καὶ τούτων τὰ μὲν ἐκ γῆς σηπομένης καὶ φυτῶν, ὥςπερ πολλὰ συμβαίνει τῶν ἐντόμων, τὰ δ' ἐν τοῖς ζώοις αὐτοῖς ἐκ[3] τῶν ἐν τοῖς μορίοις περιττωμάτων.

1) συστραφείσης A^a C^a. 2) τῶν inser. PD^a Ald. Cam. Er. 3) καὶ D^a; καὶ ante ἐκ inser. P Ald. Cam. Er.

§ 115.

Quae sponte existunt aut terrae particulis aut partibus plantae internis putrescentibus fiunt; nonnullae parasiticae.

Gener. Anim. I. c. 1. p. 715. b.

Ἔστι δὲ καὶ ἐπὶ τῶν φυτῶν τὸν αὐτὸν τρόπον· τὰ μὲν γὰρ ἐκ[1] σπέρματος γίνεται, τὰ δ', ὥςπερ αὐτοματιζούσης τῆς φύσεως[2]. γίνεται γὰρ ἢ τῆς γῆς σηπομένης[3] ἢ μορίων τινῶν ἐν τοῖς φυτοῖς. ἔνια γὰρ αὐτὰ μὲν οὐ συνίσταται καθ' αὑτὰ χωρίς[4], ἐν ἑτέροις δ' ἐγγίνεται[5] δένδρεσιν οἷον ὁ ἰξός.

1) τοῦ inser. Ald. Cam. Er. Philop. 2) τὰ δὲ ἐκ τοῦ ὥσπερ αὐτοματίζειν τὴν φύσιν Ald. Er. Philop.; τὰ δὲ ἐκ τοῦ ὥσπερ αὐτοματιζούσης τῆς φύσεως Cam. Genitiv. partic. habuit etiam Accor. in cod. suo, qui sic vertit: aliae vero ex aliquo velut casu operante natura. 3) τῆς φύσεως σηπομένης τῆς γῆς Ald. Cam. Er. Philop. ἐκ σηπομένης τῆς γῆς correxit Schneider ad Theophr. IV. p. 255. 4) ἐκ γῆς inser. Z ἐκ τῆς γῆς Schneider l. l. 5) δὲ γίνεται SY Ald. Cam. Er. Philop.

§ 116.

Plantarum sponte existentium principium et alimentum primum.

Gener. Anim. III. c. 11. p. 762. a.

Ὅσα δὲ (ὀστρακόδερμα) μήτε παραβλαστάνει μήτε[1] κηριάζει τούτων δὲ πάντων[2] ἡ γένεσις αὐτόματός

ἐστιν. . . . δεῖ δὴ λαβεῖν ὅτι καὶ ἐν τοῖς ζώοις τοῖς γεννῶσιν ἐκ τῆς εἰςιούσης τροφῆς ἡ ἐν τῷ ζώῳ θερμότης ἀποκρίνουσα καὶ συμπέττουσα ποιεῖ τὸ περίττωμα τὴν ἀρχὴν τοῦ κυήματος. ὁμοίως δὲ καὶ ἐν [3] φυτοῖς· πλὴν ἐν μὲν τούτοις καὶ ἔν τισι τῶν ζώων οὐδὲν προςδεῖται τῆς τοῦ ἄρρενος ἀρχῆς· ἔχει γὰρ ἐν αὐτοῖς μεμιγμένην· τὸ δὲ τῶν πλείστων ζώων περίττωμα προςδεῖται. τροφὴ δ' ἐστὶ τοῖς μὲν ὕδωρ καὶ γῆ [4] τοῖς δὲ τὰ ἐκ τούτων, ὥσθ' ὅπερ ἡ ἐν τοῖς ζώοις θερμότης ἐκ τῆς τροφῆς ἀπεργάζεται τοῦθ' ἡ τῆς ὥρας ἐν τῷ περιέχοντι θερμότης ἐκ θαλάττης καὶ γῆς συγκρίνει πέττουσα καὶ συνίστησιν. τὸ δ' ἐναπολαμβανόμενον ἢ ἀποκρινόμενον ἐν τῷ πνεύματι τῆς ψυχικῆς ἀρχῆς κύημα ποιεῖ καὶ κίνησιν ἐντίθησιν. ἡ μὲν οὖν τῶν φυτῶν τῶν ἀπὸ ταὐτομάτου γινομένων σύστασις ὁμοειδής ἐστιν· ἔκ τινος γὰρ μορίου γίνεται καὶ τὸ μὲν ἀρχὴ τὸ δὲ τροφὴ γίνεται ἡ πρώτη τοῖς ἐκφυομένοις.

1) μὴ παρ. μηδὲ Ald. Cam. Er. Philop. 2) δὲ πάντων om. iid.; των pro τούτων Ald. in init. folii. 3) τοῖς inser. iid. ac recipiendum esse videtur. 4) γῇ Ald. Cam. Er. Philop. qui etiam καὶ om.

§ 117.

Naturale est plantis alterum sui generis relinquere.

Ἀνάγκη δὴ πρῶτον συνδυάζεσθαι τοὺς ἄνευ ἀλλήλων μὴ δυναμένους εἶναι, οἷον θῆλυ μὲν καὶ ἄρρεν τῆς γενέσεως ἕνεκεν. καὶ τοῦτο οὐκ ἐκ προαιρέσεως ἀλλ' ὥςπερ καὶ ἐν τοῖς ἄλλοις ζώοις καὶ φυτοῖς φυσικὸν τὸ ἐφίεσθαι οἷον αὐτὸ τοιοῦτον καταλιπεῖν ἕτερον. Polit. I. c. II. p. 1252. a.

Digitized by Google

§ 118 - 124.

Principium masculum et femineum in plantis non segregatum sed mixtum est.

§ 118. Animalia coitu coniuncta plantam referunt. — Semina plantarum respondent animalium ovis; e parte seminis fit radix et caulis, altera dat primum alimentum. — In plantis principium masc. et femin. non discreta, quia sensorio carent.

Gener. Anim. I. c. 23. p. 730-731.

Ἐν μὲν οὖν τοῖς ζώοις πᾶσι τοῖς πορευτικοῖς κεχώρισται τὸ θῆλυ τοῦ ἄρρενος καὶ ἔστιν ἕτερον ζῶον θῆλυ καὶ ἕτερον ἄρρεν, τῷ δ' εἴδει ταὐτὸν οἷον ἄνθρωπος [1] ἀμφότερα. ἐν δὲ τοῖς φυτοῖς μεμιγμέναι αὗται αἱ δυνάμεις εἰσί, καὶ οὐ κεχώρισται τὸ θῆλυ τοῦ ἄρρενος· διὸ καὶ γεννᾷ αὐτὰ ἐξ αὑτῶν καὶ προΐεται οὐ [2] γονὴν ἀλλὰ κύημα τὰ καλούμενα σπέρματα. καὶ τοῦτο καλῶς λέγει Ἐμπεδοκλῆς ποιήσας „οὕτω δ' ᾠοτοκεῖ μακρὰ [3] δένδρεα [4] πρῶτον ἐλαίας." τό τε γὰρ ᾠὸν κύημά ἐστι καὶ ἔκ τινος αὐτοῦ γίνεται τὸ ζῶον, τὸ δὲ λοιπὸν τροφή, καὶ τοῦ σπέρματος ἐκ μὲν μέρους γίνεται τὸ φυόμενον τὸ δὲ λοιπὸν τροφὴ [5] γίνεται τῷ βλαστῷ καὶ τῇ ῥίζῃ τῇ πρώτῃ. τρόπον δέ τινα ταὐτὰ συμβαίνει καὶ ἐν τοῖς κεχωρισμένον ἔχουσι ζώοις τὸ θῆλυ καὶ τὸ ἄρρεν. ὅταν γὰρ δεήσῃ γεννᾶν [6] γίνεται ἀχώριστον ὥςπερ ἐν τοῖς φυτοῖς καὶ βούλεται ἡ φύσις αὐτῶν ἓν γίνεσθαι· ὅπερ ἐμφαίνεται κατὰ τὴν ὄψιν μιγνυμένων καὶ συνδυαζομένων ἕν τι ζῶον γίνεσθαι ἐξ ἀμφοῖν. . . . καὶ ἀτεχνῶς ἔοικε τὰ ζῶα ὥςπερ φυτὰ εἶναι διαιρετά [7], οἷον εἴ τις κἀκεῖνα ὅτε σπέρμα ἐξενέγκειεν [8] διαλύσειεν καὶ χωρίσειεν εἰς τὸ ἐνυπάρχον θῆλυ καὶ ἄρρεν. καὶ ταῦτα πάντα εὐλόγως ἡ φύσις [9] δημιουργεῖ. τῆς μὲν γὰρ τῶν φυτῶν οὐσίας οὐδέν ἐστιν ἄλλο ἔργον οὐδὲ πρᾶξις οὐδεμία πλὴν ἡ τοῦ σπέρματος γένεσις ὥστ' ἐπεὶ τοῦτο διὰ θήλεος γίνεται καὶ τοῦ ἄρρενος συνδεδυασμένων

Digitized by Google

μίξασα ταῦτα διέθηκε μετ' ἀλλήλων. διὸ ἐν τοῖς φυτοῖς ἀχώριστον τὸ θῆλυ καὶ τὸ ἄρρεν. ἀλλὰ περὶ μὲν φυτῶν [10] ἐν ἑτέροις ἐπέσκεπται, τοῦ δὲ ζώου οὐ μόνον τὸ γεννῆσαι ἔργον· τοῦτο μὲν γὰρ κοινὸν τῶν ζώων πάντων· ἀλλὰ καὶ γνώσεώς τινος πάντα μετέχουσι τὰ μὲν πλείονος τὰ δ' ἐλάττονος τὰ δὲ πάμπαν μικρᾶς. αἴσθησιν γὰρ ἔχουσιν, ἡ δ' αἴσθησις γνῶσίς τις. . . . διαφέρει δ' αἰσθήσει τὰ ζῶα τῶν ζώντων μόνον. ἐπεὶ δ' ἀνάγκη καὶ ζῆν ἐὰν ᾖ ζῶον, ὅταν δεήσῃ ἀποτελεῖν τὸ τοῦ ζῶντός ἔργον τότε συνδυάζεται καὶ μίγνυται καὶ γίνεται ὡςπερανεὶ [12] φυτὸν καθάπερ εἴπομεν. τὰ δ' ὀστρακόδερμα τῶν ζώων μεταξὺ ὄντα τῶν ζώων καὶ τῶν φυτῶν, ὡς ἐν ἀμφοτέροις ὄντα τοῖς γένεσιν, οὐδετέρων ποιεῖ τὸ ἔργον· ὡς μὲν γὰρ φυτὸν [13] οὐκ ἔχει τὸ θῆλυ καὶ τὸ ἄρρεν καὶ οὐ γεννᾷ εἰς [14] ἕτερον, ὡς δὲ ζῶον οὐ φέρει ἐξ αὑτοῦ [15] καρπὸν ὥςπερ τὰ φυτά, ἀλλὰ συνίσταται καὶ γεννᾶται ἔκ τινος συστάσεως γεοειδοῦς καὶ ὑγρᾶς.

1) ἢ ἵππος ins. Z. 2) οὐ προ. PSY Ald. Cam. Er. 3) μικρὰ iid. Phil. et in comm. 4) δένδρα Y Ald. Cam. Er. 5) A καὶ usque ad τροφὴ om. Ald. Er. Philop., errore propter verba τὸ δὲ λοιπὸν τροφὴ bis posita orto. Camot.: τὸ δὲ λοιπὸν, τροφὴ τοῦ σπέρματος, καὶ ἐκ μέρους γίγνεται τὸ φυόμενον. τὸ δὲ λοιπὸν τροφὴ γίγνεται q. sq. Gaza f.: ovum enim conceptus est et animal ex parte consistit quod oritur: reliquum alimentum est animalis seminis et aliqua ex parte consistit quod oritur. Reliquum alimentum germini radicique prime est q. sq. Gaza q.: ovum enim conceptus est: et animal ex parte eius creatur, reliquum alimentum est: animalis seminis etiam aliqua ex parte consistit: quod oritur, Reliquum alimentum germini: radicique primae est. Bekk. τὸ δὲ λοιπὸν τροφή, καὶ ἐκ τοῦ σπέρματος καὶ ἐκ μέρους γίγνεται τὸ φυόμενον, τὸ δὲ λοιπὸν τροφὴ γίγνεται τῷ βλαστῷ q. sq. PSY om. καὶ ἐκ ante τοῦ σπέρματος, Z om. ἐκ ante μέρους; ζῶον καὶ ἐκ μέρους τοῦ σπέρματος γίνεται τὸ φυτὸν Cod. Accor. Locum e coniectura paullulum mutatum restituisse mihi videor; dedi καὶ τοῦ pro καὶ ἐκ τοῦ et ἐκ μὲν pro καὶ ἐκ, ut Bekkerus codices

Digitized by Google

diversos secutus exhibuit. Quae Bekk. dedit, si ferri possint, si non inepte certe negligenter sonant; ex emendatione nostra loci sententia acute circumscripta. „Et enim ovum est conceptus atque ex parte eius formatur animal, reliqua vero pars alimento est, et e seminis parte formatur planta reliqua vero pars alimento est germini primaeque radici.“ Gen. An. II. c. 1. *ᾠὸν μὲν γάρ ἐστιν ἐξ οὗ γίνεται τὸ γινόμενον ἐκ μέρους τὸ δὲ λοιπόν ἐστι τροφὴ τῷ γινομένῳ.* 6) *ἓν γένηται καὶ γεννᾷ* Ald. Cam. Er. Gaza. PSY; *ἑνοῦται καὶ γεννᾶ* Philop. *ἔνδεια γένηται τοῦ γεννᾷν* conj. Schneider ad Theoph. t. v. p. 256. 7) *διηρημένα* SY; *διῃρημένα* Ald. Cam. Er. Philop. 8) *ὅταν* SY, *ἐξενέγκῃ* PSY, *ὅταν σπ. ἐξενέγκῃ* Ald. Cam. Er. Philop. Coniunctivo hic locus non est; optativum non intellexere librarii. 9) *ἡ φυσ. εὐλ.* iid. 10) *τούτων* iid. PSY. 11) *μόνων* Cam. 12) *ὥσπερεὶ* PY Ald. Cam. Er. Philop. 13) *ὂν* inser. PSY u. vid. Ald. Cam. Er. Philop. Bekk.; omisi cum cod. Z quia parum est aptum: ostracoderma enim plantas esse nunquam dixit Aristoteles, sed admodum eis similes vitaeque functionibus propinquas. 14) *τὸ* inser. PSY Ald. Cam. Er. Philop. 15) *αὐτοῦ* Ald. Cam. Er. Philop.

§ 119. Mas et femina sunt principia generandi, discreta in animalibus, non discreta in plantis.

Gener. Anim. IV. c. 1. p. 763. b. *Ἐπεὶ δ᾽ ἐν τοῖς τελεωτάτοις*[1] *αὐτῶν (τῶν ζώων) ἐστὶ τὸ θῆλυ καὶ τὸ ἄρρεν κεχωρισμένον καὶ ταύτας τὰς δυνάμεις ἀρχάς φαμεν εἶναι*[2] *πάντων καὶ ζώων καὶ φυτῶν, ἀλλὰ τὰ μὲν αὐτὰς ἀχωρίστους ἔχει τὰ δὲ κεχωρισμένας, λεκτέον περὶ τῆς γενέσεως τῆς τούτων πρῶτον.*

1) *τελειοτάτοις* SYZ Ald. Cam. Er. Philop. 2) *εἶναι φαμὲν* Ald. Cam. Er. Philop.

Gener. Anim. II. c. 4 p. 741. a. 120. *Ἐν μὲν οὖν*[1] *τοῖς φυτοῖς οὐ κεχώρισται τὸ θῆλυ τοῦ ἄρρενος· ἐν δὲ τοῖς ζώοις ἐν οἷς κεχώρισται προσδεῖται τοῦ θήλεος τὸ ἄρρεν.*

1) *οὖν* habent post *φυτοῖς* Ald. Er. Philop., utroque loco Cam.

Gener. Anim. III. c. 10. p. 759. b. 121. *Λείπεται δὴ*[1] *καθάπερ φαίνεται συμβαῖνον ἐπί τινων*[2] *ἰχθύων, τὰς μελίττας ἄνευ ὀχείας*

Digitized by Google

γεννᾶν τοὺς κηφῆνας, τῷ μὲν γεννᾶν οὔσας θηλείας, ἐχούσας δ' ἐν αὑταῖς[3] ὥσπερ τὰ φυτὰ καὶ[4] τὸ θῆλυ καὶ τὸ ἄρρεν. . . . οὐ γὰρ δεῖ θῆλυ καλεῖν ἐν ᾧ ἄρρεν μή[5] ἐστι κεχωρισμένον.

1) δὲ Ald. Cam. Er. Philop. 2) τῶν iid. PSY. 3) αὐταῖς Ald. Cam. Er. Phil. 4) om. iid. SY. 5) ἄρρεν μὴ Ald. Cam. Er. Phil.

122. Ἔτι δ' ἔνια, καθάπερ ἐν τοῖς ὀστρακοδέρμοις καὶ φυτοῖς τὸ μὲν τίκτον ἐστὶ καὶ γεννῶν τὸ δ' ὀχεῦον οὐκ ἔστιν, οὕτω καὶ ἐν τοῖς ἰχθύσι τὸ τῶν ψηττῶν γένος καὶ τὸ τῶν ἐρυθρίνων καὶ αἱ χάνναι[1]. πάντα γὰρ[2] τὰ τοιαῦτα ᾠὰ φαίνεται ἔχοντα. Hist. Animal. IV. c. 11. p. 538. a.

1) χάναι Ald. Cam. Er. 2) καὶ πάντα iid. PD[a].

§ 123. Mas et femina sunt principia vitae, nobilioris vero quum sunt discretae.

Ἐπεὶ δὲ τούτων* ἀρχὴ τὸ θῆλυ καὶ τὸ[1] ἄρρεν ἕνεκα τῆς γενέσεως ἂν εἴη τὸ θῆλυ καὶ τὸ ἄρρεν ἐν τοῖς οὖσιν[2]. βελτίονος δὲ καὶ θειοτέρας τὴν φύσιν οὔσης τῆς αἰτίας τῆς κινούσης πρώτης[3], ᾗ ὁ λόγος ὑπάρχει καὶ τὸ εἶδος τῆς ὕλης, βέλτιον δ' ὂν[4] τὸ κεχωρίσθαι τὸ κρεῖττον τοῦ χείρονος, διὰ τοῦτ' ἐν ὅσοις ἐνδέχεται καὶ καθ' ὅσον ἐνδέχεται κεχώρισται τοῦ θήλεος τὸ ἄρρεν· βέλτιον γὰρ καὶ θειότερον ἡ ἀρχὴ τῆς κινήσεως ἣ ἄρρεν ὑπάρχει τοῖς γινομένοις· ὕλη δὲ τὸ ἣ θῆλυ. συνέρχεται δὲ καὶ μίγνυται πρὸς τὴν ἐργασίαν τῆς γενέσεως τῷ θήλει τὸ ἄρρεν· αὕτη γὰρ κοινὴ ἀμφοτέροις[5]. κατὰ μὲν οὖν τὸ μετέχειν τοῦ θήλεος καὶ τοῦ ἄρρενος ζῇ διὸ καὶ τὰ φυτὰ μετέχει ζωῆς. κατὰ δὲ τὴν αἴσθησιν τὸ τῶν ζώων ἐστὶ γένος. Gener. Anim. II. c. 1. p. 732. a.

* cf. § 106, quam haec excipit. 1) καὶ τὸ] τε καὶ Ald. Cam. Er. Philop. P. 2) ἑκάτερον τούτων add. Z.; in rerum natura Gaza. 3) πρῶτον P Ald. Cam. Er. Philop. 4) Ita scripsi e coniectura. βέλτιον δὲ καὶ τὸ PSY Ald. Cam. Er.

Digitized by Google

Philop. in cont.; βέλτιον καὶ τὸ Bekk. (an e cod. Z? de cuius lectione non satis constat); βέλτιον δὲ τὸ Philop. in comm. sed v. καὶ temere fortasse omissa, cum paullo ante eam habeat. Sed omnes has lectiones falsas esse facile intelligitur. Ut Gaza vertit, sententia bene se habet, q. v.; sunt enim duo protases una apodosis quae a vv. διὰ τοῦτο incipit. 5) ἀμφοτέρων Ald. Cam. Er. Philop.

§ 124. Principium masculum efficit animam sensitivam, propterea in animalibus a femineo discretum.

Gener. Anim. II. c. 5. p. 741. a. *Καίτοι τις ἀπορήσειεν ἄν*[1], *διὰ τίν' αἰτίαν εἴπερ ἔχει τὸ θῆλυ τὴν αὐτὴν ψυχὴν καὶ ἡ ὕλη τὸ περίττωμα*[2] *τοῦ θήλεός ἐστι, τί προςδεῖται τοῦ ἄρρενος ἀλλ' οὐκ αὐτὸ ἐξ αὑτοῦ*[3] *γεννᾷ τὸ θῆλυ. αἴτιον δ' ὅτι διαφέρει τὸ ζῶον τοῦ φυτοῦ αἰσθήσει· . . . εἰ οὖν τὸ ἄρρεν ἐστὶ τὸ τῆς τοιαύτης ποιητικὸν ψυχῆς ὅπου κεχώρισται τὸ θῆλυ καὶ τὸ ἄρρεν ἀδύνατον τὸ θῆλυ αὐτὸ ἐξ αὑτοῦ*[4] *γεννᾶν ζῶον· . . . διὰ τί οὖν οὐκ ἀποτελεῖ τὰ μόρια καὶ τὸ ζῶον; ὅτι δεῖ αἰσθητικὴν αὐτὰ ἔχειν ψυχήν· οὐ γάρ ἐστιν ὥςπερ φυτοῦ τὰ μόρια τῶν ζώων· διὸ δεῖται τῆς τοῦ*[5] *ἄρρενος κοινωνίας· κεχώρισται γὰρ ἐν τούτοις τὸ ἄρρεν.*

1) ἂν om. SYZ Phil. in comm.; ἀπορήσει etiam omisso ἂν Ald. Er. Phil. in cont.; ἀπορίσει Cam. 2) τὸ inser. Bekker; omisi cum codd. 3) αὐτοῦ Ald. Cam. Philop. in cont. 4) αὐτοῦ αὐτὸ Ald.; αὐτοῦ αὐτὸ Cam.; αὐτοῦ αὐτὸ Er. Philop. 5) om. Ald. Cam. Er. Philop.

§ 125.

Semen est id e quo primo fit corpus naturale; sem. plantarum respondet mixturae primae in conceptione animalium ortae.

Gener. Anim. I. c. 18. p. 724. *Βούλεται δὲ τοιοῦτον τὴν φύσιν εἶναι τὸ σπέρμα, ἐξ οὗ τὰ κατὰ φύσιν συνιστάμενα γίνεται πρῶτον· οὐ τῷ ἐξ ἐκείνου τι εἶναι τὸ ποιοῦν, οἷον τοῦ ἀνθρώπου· γίνεται γὰρ ἐκ τούτου ὅτι τοῦτό ἐστι τὸ σπέρμα*[1]. *. . . τὸ δὲ*[2] *σπέρμα φανερὸν ὅτι δυοῖν*

τούτοιν ἐν θατέρῳ ἐστίν· ἢ γὰρ ὡς ἐξ ὕλης αὐτοῦ ἢ ὡς ἐκ πρώτου κινήσαντός ἐστι τὸ γινόμενον. οὐ γὰρ δὴ ὡς τόδε μετὰ τόδε, οἷον ἐκ τῶν Παναθηναίων ὁ πλοῦς, οὐδ' ὡς ἐξ ἐναντίου· φθειρομένου τε γὰρ γίνεται τὸ ἐναντίον ἐκ τοῦ ἐναντίου καὶ ἕτερόν τι δεῖ ὑποκεῖσθαι ἐξ οὗ ἔσται [3] πρώτου ἐνυπάρχοντος. τοῖν δυοῖν δὴ ληπτέον ἐν ποτέρῳ [4] θετέον τὸ σπέρμα, πότερον ὡς ὕλην καὶ πάσχον ἢ ὡς εἶδός τι καὶ ποιοῦν ἢ καὶ ἄμφω. ἅμα γὰρ ἴσως δῆλον ἔσται καὶ πῶς ἐξ ἐναντίων γένεσις ὑπάρχει πᾶσι τοῖς ἐκ τοῦ σπέρματος. φυσικὴ γὰρ καὶ [5] ἡ ἐκ τῶν ἐναντίων γένεσις· τὰ μὲν γὰρ ἐξ ἐναντίων γίνεται ἄρρενος καὶ θήλεος, τὰ δ' ἐξ ἑνὸς μόνου [6] οἷον τά τε [7] φυτὰ καὶ τῶν ζώων ἔνια, ἐν ὅσοις μή ἐστι διωρισμένον τὸ ἄρρεν καὶ τὸ θῆλυ χωρίς. γονὴ μὲν οὖν τὸ ἀπὸ τοῦ γεννῶντος καλεῖται αἴτιον, ὅσα συνδυάζεσθαι πέφυκε, τὸ πρῶτον ἔχον ἀρχὴν γενέσεως, σπέρμα δὲ τὸ ἐξ ἀμφοτέρων τὰς ἀρχὰς ἔχον τῶν συνδυασθέντων, οἷον τά τε τῶν φυτῶν καὶ ἐνίων ζώων ἐν οἷς μὴ κεχώρισται τὸ θῆλυ καὶ τὸ ἄρρεν, ὥσπερ τὸ γιγνόμενον ἐκ θήλεος καὶ ἄρρενος πρῶτον μῖγμα [8], οἷον κύημά τι ὂν ἢ ᾠόν [9]· καὶ γὰρ ταῦτα ἤδη ἔχει τὸ ἐξ ἀμφοῖν.

1) Exhibui lectionem eam quam e codd. dedit Bekk. quamque fere habuere Philoponus et Gaza, quamquam nondum satis perspectam neque extra omnem dubitationem positam. Ald.: *ἐκείνου τινός, οἷον ἐκ τοῦ ἀνθρώπου, ὅτι τούτου τί ἐστι τὸ σπέρμα.* Cam.: *ἐκείνου τινός, τί εἶναι τὸ ποιοῦν οἷον ἐκ τοῦ ἀνθρώπου· γίγνεται γὰρ ἐκ τούτου· ἀλλ' ὅτι τούτου τί ἐστι τὸ σπέρμα.* Er.: *ἐκείνου τι εἶναι τὸ ποιοῦν, οἷον ἐκ τοῦ ἀνθρώπου, ἀλλ' ὅτι τούτου ἐστὶ τὸ σπέρμα.* Philop. cont.: *ἐκείνου τινὸς, οἷον ἐκ τοῦ ἀθρώπου ἀλλ' ὅτι τούτου τί ἐστι τὸ σπέρμα.* Gaza: non quod ex illo, verbi gratia homine, aliquid sit quod agat; fit enim aliquid ex hoc: quia semen eius est; habuit igitur *τούτου*. Philop. explicatio fere haec est: *οὐκ ἐν τῷ εἶναί τι τὸ ποιοῦν ἤτοι τὸ σπέρμα ἐκ τῶν μερῶν ἐκείνου τοῦ γιγνομένου καὶ συνισταμένου, οἷον ἀνθρώπου· γίγνεται γὰρ ἐκ τούτου, ἤτοι τοῦ σπέρ-*

μαστός, πρῶτον ὁ ἄνθρωπος, ὅτι τὸ ποιοῦν τὸν ἄνθρωπον τοῦτό ἐστι τὸ σπέρμα ἤτοι ἡ ἐν τῷ σπέρματι ἐνοῦσα δύναμις. 2) δὴ Ald. Cam. Er. Philop. 3) ἐστι iid. 4) ὁποτέρῳ iid. 5) om. iid. 6) μόνον iid. 7) om. iid. 8) μίγμα Ald. Cam. Philop. 9) ᾠόν scripsi e coniectura, qua nihil aut facilius aut certius. Omnes scripti et impressi ζῷον, quod quomodo explicari possit non video. Ova vero animalium cum plantarum seminibus etiam in paragr. sequentibus comparantur.

§ 126.

Ex uno igitur plantae semine una tantum stirps evadit.

Gener. Anim. I. c. 20. p. 728. a. Ἐν ὅσοις μὲν οὖν τῶν ζωὴν ἐχόντων μὴ κεχώρισται τὸ θῆλυ καὶ τὸ ἄρρεν τούτοις μὲν τὸ σπέρμα οἷον κύημά ἐστιν. λέγω δὲ κύημα [1] τὸ πρῶτον μῖγμα ἐκ [2] θήλεος καὶ ἄρρενος. διὸ καὶ ἐξ ἑνὸς σπέρματος ἓν σῶμα γίνεται, οἷον ἑνὸς πυροῦ εἷς πυθμὴν ὥσπερ ἐξ ἑνὸς ᾠοῦ ἓν [3] ζῷον· τὰ γὰρ δίδυμα τῶν ᾠῶν δυὸ ᾠά ἐστιν. ἐν ὅσοις δὲ τῶν γενῶν διώρισται τὸ θῆλυ καὶ τὸ ἄρρεν, ἐν δὲ τούτοις ἀφ' ἑνὸς σπέρματος ἐνδέχεται πολλὰ γίνεσθαι ζῷα, ὡς διαφέροντος τῇ φύσει τοῦ σπέρματος [4] ἐν τοῖς φυτοῖς τε καὶ ζῴοις.

1) σπέρμα Ald. Phil. cont., sed in comm. κύημα; conceptum Gaza. 2) Sic PSY; ἐκ om. Bekk. c. cod. Z; καὶ Ald. Cam. Er. Philop. cont. 3) om. Ald. Philop. cont. 4) ἐντὸς inser. Ald. Cam. Er. Philop.

§ 127.

Ova avium cum plantarum seminibus comparantur.

Gener. Anim. III. c. 7. p. 757. b. Τὰ μὲν οὖν ὑπηνέμια λαμβάνει τὴν γένεσιν μέχρι τοῦ ἐνδεχομένου αὐτοῖς. τελεωθῆναι [1] μὲν γὰρ εἰς ζῷον ἀδύνατον, δεῖ γὰρ αἰσθήσεως· τὴν δὲ θρεπτικὴν δύναμιν τῆς ψυχῆς ἔχει καὶ [2] τὰ θήλεα [3] καὶ πάντα τὰ ζῶντα καθάπερ εἴρηται πολλάκις· διόπερ αὐτοῦ τὸ ᾠὸν ὡς μὲν φυτοῦ κύημα τέλειόν ἐστιν

ὡς δὲ ζώου[4] ἀτελές. εἰ μὲν οὖν μὴ ἐνῆν ἄρρεν[5] ἐν τῷ γένει αὐτῶν, ἐγίνετ' ἂν ὥςπερ ἐπὶ τῶν ἰχθύων, εἴπερ ἔστι τι τοιοῦτον γένος οἷον ἄνευ ἄρρενος γεννᾶν· εἴρηται δὲ περὶ αὐτῶν καὶ[6] πρότερον ὅτι οὔπω ὦπται ἱκανῶς. νῦν δ' ἐστὶν ἐν πᾶσι τοῖς ὄρνισι τὸ μὲν θῆλυ τὸ δ' ἄρρεν. ὥσθ' ἡ μὲν φυτὸν τετελέωκεν[7], διόπερ οὐ μεταβάλλει πάλιν μετὰ τὴν ὀχείαν· ἡ δ' οὐ φυτὸν οὐ τετελέωκεν[7]) οὐδ' ἀποβαίνει ἐξ αὐτοῦ ἕτερον οὐδέν. οὔτε γὰρ ὡς φυτοῦ ἁπλῶς οὔθ' ὡς ζώου ἐκ συνδυασμοῦ γέγονεν.

1) τελειωθῆναι PS Ald. Cam. Er. Phil. 2) καὶ om. edd. eaed. 3) θήλεια Cam.; καὶ τὰ ἄρρενα ins. Bekk. e codd. PSY, ut videt., omisi cum cod. Z Ald. Cam. Er. Philop. Gaza, quod non solum supervacanea sed ne apta quidem sunt. 4) ζῶον Y Ald. Cam. Er. Philop.; at Gaza: animalis. 5) ἄρρην SY Ald. Cam. Er. Philop. 6) καὶ om. edd. eaed.; περὶ αὐτῶν om. Z. 7) τετελέωκεν SY Ald. Cam. Er. Philop.

§ 128.

Semina animalium ab initio vitam habent eamque vitae plantarum congruam.

Διορίσαι τε δεῖ πότερον μεταλαμβάνει τὸ συνιστάμενον ἐν τῷ θήλει ἀπὸ τοῦ εἰςελθόντος τι ἢ οὐδέν, καὶ περὶ ψυχῆς καθ' ἣν λέγεται ζῶον — ζῶον δ' ἐστὶ κατὰ τὸ μόριον τῆς ψυχῆς τὸ αἰσθητικὸν —, πότερον ἐνυπάρχει τῷ σπέρματι καὶ τῷ κυήματι ἢ οὒ καὶ πόθεν[1]. οὔτε γὰρ ὡς ἄψυχον ἂν[2] θείη τις τὸ κύημα[3] κατὰ πάντα τρόπον ἐστερημένον ζωῆς· οὐδὲν γὰρ ἧττον τά τε σπέρματα καὶ τὰ κυήματα τῶν ζώων ζῇ τῶν φυτῶν καὶ γόνιμα μέχρι τινός ἐστιν. ὅτι μὲν οὖν τὴν θρεπτικὴν ἔχουσι ψυχὴν φανερόν.... τὴν μὲν οὖν θρεπτικὴν ψυχὴν τὰ σπέρματα καὶ τὰ κυήματα τὰ χωριστὰ δῆλον ὅτι δυνάμει μὲν ἔχοντα θετέον, ἐνεργείᾳ δ' οὐκ ἔχοντα πρὶν ἢ καθάπερ τὰ χωριζόμενα τῶν κυημάτων ἕλκει τὴν τροφὴν καὶ ποιεῖ τὸ τῆς τοιαύτης

Gener. Anim. II. c. 3. p. 736. a.

Digitized by Google

ψυχῆς ἔργον· πρῶτον μὲν γὰρ ἅπαντ' ἔοικε ζῆν τὰ τοιαῦτα φυτοῦ βίον.

1) καὶ πόθεν om. Ald. Cam. Er. Philop.; Gaza habuit. 2) om. iid. 3) καὶ inser. iid.; Gaza om.

§ 129.

Semen nec in animalibus nec in plantis ab omnibus et singulis partibus descendit.

Gener. Anim. I. c. 18. p. 722. a. Διόπερ ἐπισκεπτέον, ἐπειδή φασί τινες ἀπὸ παντὸς ἀπιέναι τοῦ σώματος, περὶ τούτου πῶς ἔχει πρῶτον . . . ὅτι μὲν οὖν ἀπὸ παντὸς ἔρχεται τὸ σπέρμα σχεδὸν ἐκ τούτων μάλιστα πιστεύουσί τινες. φαίνεται δ' ἐξετάζουσι τὸν λόγον τοὐναντίον μᾶλλον . . . καὶ ἐπὶ τῶν φυτῶν δὲ ὁ αὐτὸς λόγος· δῆλον γὰρ ὅτι καὶ τούτοις ἀπὸ πάντων ἂν τῶν μερῶν τὸ σπέρμα γίνοιτο. πολλὰ δὲ τὰ μὲν οὐκ ἔχει, τὰ δὲ καὶ [1] ἀφέλοι τις ἄν, τὰ δὲ προσφύεται. ἔτι οὐδ' ἀπὸ τῶν περικαρπίων ἀπέρχεται· καίτοι καὶ ταῦτα γίνεται τὴν αὐτὴν ἔχοντα μορφήν.

1) om. Ald. Cam. Er.

§ 130.

Quod demonstratur e deplantatione.

Gener. Anim. I. c. 18. p. 723. b. Ἔτι ἀπὸ μιᾶς συνουσίας καὶ τῶν ζώων ἔνια γεννᾷ πολλὰ τὰ δὲ φυτὰ καὶ παντάπασιν. δῆλον γὰρ ὅτι ἀπὸ μιᾶς κινήσεως [1] τὸν ἐπέτειον πάντα φέρει καρπόν. καίτοι πῶς δυνατόν, εἰ ἀπὸ παντὸς ἀπεκρίνετο τὸ σπέρμα; μίαν γὰρ ἀπόκρισιν ἀπὸ μιᾶς ἀναγκαῖον γίνεσθαι συνουσίας καὶ μιᾶς διακρίσεως. ἐν δὲ ταῖς ὑστέραις χωρίζεσθαι ἀδύνατον· ἤδη γὰρ ὥσπερ ἀπὸ νέου φυτοῦ ἢ ζῴου οὐ σπέρματος εἴη [2] ἡ διαχώρισις [3]. ἔτι [4] τὰ ἀποφυτευόμενα ἀπ' αὐτοῦ φέρει σπέρμα· δῆλον οὖν ὅτι καὶ πρὶν ἀποφυτευθῆναι ἀπὸ τοῦ αὐτοῦ μεγέθους ἔφερε τὸν καρπὸν καὶ οὐκ ἀπὸ παντὸς τοῦ φυτοῦ ἀπῄει τὸ σπέρμα.

Digitized by Google

1) γινήσεως Ald.; γενέσεως Cam.; γενήσεως Philop. cont., sed in comm. ut Er. et Gaza hab. κινήσεως. κιήσεως, quod vertit ex uno fetu, cod. Accor. 2) οὐ σπέρματος εἴη] σπέρμα ποιεῖ Z. 3) διαχώρησις PSY. 4) δὲ inser. Ald. Cam. Er. Philop. SY.

§ 131.

Semina sunt instar excrementi, quod ad locum ipsi proprium abit.

Ἡ μὲν οὖν ἀπόκρισις γίνεται πᾶσι τοῦ σπέρματος ὥςπερ ἄλλου τινὸς περιττώματος. φέρεται γὰρ ἕκαστον εἰς τὸν οἰκεῖον τόπον οὐδὲν ἀποβιαζομένου τοῦ πνεύματος οὐδ' ἄλλης αἰτίας τοιαύτης[1] ἀναγκαζούσης. . . . ὅμοιον δὲ κἂν εἴ τις φαίη τοῖς φυτοῖς ὑπὸ τοῦ πνεύματος ἑκάστοτε τὰ σπέρματα ἀποκρίνεσθαι πρὸς τοὺς τόπους πρὸς οὓς εἴωθε φέρειν τὸν καρπόν. Gener.Anim. I. c. 4. p. 737. b. p. 738.

1) τοιαύτης αἰτίας SY Ald. Cam. Er.

§ 132.

Quod alimentum in semina convertitur, corporis augmento detrahitur.

Τὰ μὲν γὰρ ἀτελῆ προΐεται τὰ ᾠὰ οἷον οἱ[1] ἰχθύες. ἔξω γὰρ ἐπιτελεῖται καὶ λαμβάνει αὔξησιν τὰ τῶν ἰχθύων· αἴτιον δ' ὅτι πολύγονα ταῦτα καὶ τοῦτ' ἔργον αὐτῶν[2] ὥςπερ τῶν φυτῶν. εἰ οὖν ἐν αὐτοῖς ἐτελεσιούργουν ἀναγκαῖον ὀλίγα τῷ πλήθει εἶναι· νῦν δὲ τοσαῦτα ἴσχουσιν ὥστε δοκεῖν ᾠὸν εἶναι τὴν ὑστέραν ἑκατέραν[3] ἔν γε τοῖς μικροῖς ἰχθυδίοις· ταῦτα γὰρ πολυγονώτατά ἐστιν ὥςπερ καὶ ἐπὶ τῶν ἄλλων τῶν ἀνάλογον τούτοις ἐχόντων[4] τὴν φύσιν καὶ ἐν φυτοῖς καὶ ἐν ζώοις. ἡ γὰρ τοῦ μεγέθους αὔξησις τρέπεται εἰς[5] τὸ σπέρμα τούτοις. Gener.Anim. I. c. 8. p. 718. b.

1) om. Y Ald. Cam. Er. Philop. 2) τὸ σπέρμα ins. Cam. cod. Accor. 3) om. Ald. Er. Philop. Gaza, habet cod. Accor. 4) κεκτημένων Ald. Cam. Er. Philop. 5) ἐπὶ iid.

Digitized by Google

§ 133. 134.

Plantae interdum semen non efferunt; tum alimentum in herbam conversum huius luxuriem efficit.

Gener. Anim. I. c. 18. p. 726. a. *Πολλοῖς δὲ συμβαίνει καὶ ζώοις καὶ φυτοῖς καὶ γένεσι*[1] *πρὸς γένη διαφορὰ περὶ*[2] *ταῦτα κἂν τῷ γένει τῷ*[3] *αὐτῷ τοῖς ὁμοειδέσι πρὸς ἄλληλα, οἷον ἀνθρώπῳ πρὸς ἄνθρωπον καὶ ἀμπέλῳ πρὸς ἄμπελον. τὰ μὲν γὰρ πολύσπερμα τὰ δ᾽ ὀλιγόσπερμά ἐστι, τὰ δ᾽ ἄσπερμα*[4] *πάμπαν, οὐ δι᾽ ἀσθένειαν, ἀλλ᾽ ἐνίοις γε τοὐναντίον. καταναλίσκεται γὰρ εἰς*[5] *τὸ σῶμα οἷον τῶν ἀνθρώπων ἐνίοις*[6]*· εὐεκτικοὶ γὰρ ὄντες καὶ γινόμενοι πολύσαρκοι ἢ πιότεροι*[7] *μᾶλλον ἧττον προΐενται σπέρμα καὶ ἧττον ἐπιθυμοῦσι τοῦ ἀφροδισιάζειν*[8]*. ὅμοιον δὲ καὶ τὸ*[9] *περὶ τὰς τραγώσας ἀμπέλους πάθος, αἳ διὰ τὴν τροφὴν ἐξυβρίζουσιν, ἐπεὶ καὶ οἱ τράγοι πίονες ὄντες ἧττον ὀχεύουσιν*[10]*· διὸ καὶ προλεπτύνουσιν αὐτοὺς καὶ τὰς ἀμπέλους τραγᾶν ἀπὸ τοῦ πάθους τῶν τράγων καλοῦσιν.*

1) *γίνεσι* Ald. 2) *παρὰ* Ald. Cam. Er. Philop. 3) om. iid. SYZ. 4) *ἐστι τὰ δ᾽ ἄσπερμα* om. Z Ald. Cam. Er. Phil.; *ὀλιγόσπερμα τὰ δ᾽ ἄσπερμά ἐστι πάμπαν* cod. Accor. 5) *ἐπὶ* edd. eaed. 6) *ἔνιοι* Ald. Cam. Philop. 7) *πιότατοι* Ald. Cam. Er. Philop.; *πρότερον* et om. *μᾶλλον* S; *ἢ πιότεροι πρότερον ἧττον πρ. σπ.* cod. Accor. 8) *ἀφροδιάζειν* Cam. Phil. 9) om. Phil. 10) *ἔχουσιν* Z Ald. Cam. Er. Phil. in cont. et in comm. (explicat enim *φέρουσι σπέρμα*) et Gaza. Dubito utrum magis verum sit.

Hist. Anim. V. c. 14. p. 546. a. 134. *Οἱ δὲ τράγοι πίονες ὄντες ἧττον γόνιμοί εἰσιν, ἀφ᾽ ὧν καὶ τὰς ἀμπέλους ὅταν μὴ φέρωσιν τραγᾶν καλοῦσιν.*

§ 135-137.

In plantis sunt individua fructifera et sterilia eiusdem generis.

Gener. Anim. I. c. 1. p. 715. b. *Ὅσα δὲ μὴ πορευτικὰ καθάπερ τὰ ὀστρακόδερμα τῶν ζώων καὶ τὰ ζῶντα τῷ προσπεφυκέναι διὰ τὸ*

παραπλησίαν αὐτῶν εἶναι τὴν οὐσίαν τοῖς φυτοῖς, ὥςπερ οὐδ' ἐν ἐκείνοις, οὐδ' ἐν τούτοις ἐστὶ τὸ θῆλυ καὶ τὸ ἄρρεν [1], ἀλλ' ἤδη καθ' ὁμοιότητα καὶ κατ' ἀναλογίαν λέγεται· μικρὰν γάρ τινα τοιαύτην ἔχει διαφοράν· καὶ γὰρ ἐν τοῖς φυτοῖς ὑπάρχει τὰ μὲν καρποφόρα δένδρα τοῦ αὐτοῦ γένους, τὰ δὲ αὐτὰ μὲν οὐ φέρει καρπὸν συμβάλλεται δὲ τοῖς φέρουσι πρὸς τὸ πέττειν, οἷον συμβαίνει περὶ τὴν συκῆν καὶ τὸν ἐρινεόν.

1) ἄρρεν καὶ τὸ θῆλυ Ald. Cam. Er.

136. Εἰσὶ δέ τινες οἵ φασι πάντας εἶναι τοὺς ἰχθῦς θήλεις ἔξω τῶν σελαχῶν οὐκ ὀρθῶς λέγοντες· οἴονται γὰρ διαφέρειν τῶν νομιζομένων ἀρρένων τοὺς θήλεις αὐτῶν ὥςπερ τῶν φυτῶν ἐν ὅσοις τὸ μὲν καρποφορεῖ τὸ δ' ἄκαρπόν ἐστιν [1] οἷον ἐλάα [2] καὶ κότινος καὶ συκῆ καὶ ἐρινεός. Gener. Anim. III. c. 5. p. 755. b.

1) ἐστιν om. SY. Ald. Cam. Er. Phil. 2) ἐλαία iid. et Z.

137. Ἐν μὲν τοῖς τετράποσι πᾶσιν ἔστι τὸ μὲν θῆλυ τὸ δ' ἄρρεν ἐν δὲ τοῖς ὀστρακοδέρμοις οὐκ ἔστιν, ἀλλ' ὥςπερ ἐν φυτοῖς τὰ μὲν εὔφορά ἐστι τὰ δ' ἄφορα οὕτω καὶ ἐν τούτοις. Hist. Animal. IV. c. 11. p. 537. a

§ 138.

Caprificatio i. e. fructificatio ficus per insecta.

Οἱ δ' ἐρινεοὶ [1] οἱ [2] ἐν τοῖς ἐρινεοῖς [3] ἔχουσι τοὺς καλουμένους [4] ψῆνας [5] . . . γίνεται δὲ τοῦτο πρῶτον [6] σκωλήκιον, εἶτα περιρραγέντος [7] τοῦ δέρματος ἐκπέτεται [8] τοῦτο ἐγκαταλιπὼν [9] ὁ ψὴν [10] καὶ εἰςδύεται [11] εἰς τὰ τῶν συκῶν ἐρινὰ [12] καὶ διὰ στομάτων [13] ποιεῖ μὴ ἀποπίπτειν τὰ ἐρινά [12]. διὸ περιάπτουσί τε τὰ [14] ἐρινὰ πρὸς τὰς συκᾶς [15] οἱ γεωργοὶ καὶ φυτεύουσι πλησίον ταῖς συκαῖς ἐρινεούς. Hist. Animal. V. c. 32. p. 557. b.

1) δὲ ῥῖνες PDᵃ Ald. Cam. Er. 2) om. Aᵃ nec Gaza habuisse videtur. 3) ἐρίνοις Dᵃ; ἔρνοις P; ἐρινοῖς Ald. Cam. Er. 4) τὰς καλουμένας P. 5) ψῆρας PDᵃ Ald. Cam. Er.

Digitized by Google

6) τοῦτο πρ.] πρῶτον τὸ A^aC^a. 7) ἐμπεριρραγέντος PD^a Ald. Cam. Er.; περιαιρεθέντος C^a. 8) ἐκπέταται A^aC^a. 9) ἐγκαταλεῖπον PD^a Ald. Cam. Er. 10) ὁ ψήν] ὄψιν PA^aC^aD^a et edd. 11) ἐνδύεται A^aC^a. 12) ἐρινεὰ A^aC^a; ἐρινὰ edd. 13) στόματος A^a, Gaza aliud legisse videtur. 14) τά τε PD^a edd. 15) συκέας A^aC^a; συκᾶς edd. — Exhibui hanc paragraphum e recensione Bekkeri, sed vide ne sint nonnulla paullo aliter legenda.

§ 139.

Principium est in semine ubi partes eius connatae, et ubi ramulo calyci vel pericarpio adhaeret.

Gener. Anim. III. c. 2. p. 752. a.

Ἀποκρίνεται δ' ἐν τοῖς ᾠοῖς ἡ τοῦ ἄρρενος ἀρχὴ καθ' ὃ προςπέφυκε τῇ ὑστέρᾳ τὸ ᾠόν ... τὸν αὐτὸν δ' ἔχει τρόπον καὶ ἐν τοῖς τῶν φυτῶν σπέρμασιν. προςπέφυκε γὰρ ἡ ἀρχὴ τοῦ σπέρματος τὰ μὲν ἐν τοῖς κλάδοις τὰ δὲ ἐν τοῖς κελύφεσι τὰ δ' ἐν τοῖς περικαρπίοις. δῆλον δ' ἐπὶ τῶν χεδροπῶν[1]. *ᾗ γὰρ*[2] *συνῆπται τὸ δίθυρον τῶν κυάμων καὶ τῶν τοιούτων σπερμάτων ταύτῃ προςπέφυκεν. ἡ δ' ἀρχὴ ἐνταῦθα*[3] *τοῦ σπέρματος.*

1) χεδρωπῶν S Ald. Cam. Er. Philop. 2) ἐν τῷ λεγομένῳ ὄμματι ins. Ald. Cam. Er. Philop. cont., occurrunt etiam in eiusd. comm. sed utrum ea legerit necne non patet. Gaza non habuit. 3) δὲ et ἐνταῦθα om. Ald. Cam. Er. Philop. Gaza S, δὲ etiam Y.

§ 140.

Ex isto principio in germinatione ab altera parte radix ab altera cauliculus prodit.

Gener. Anim. II. c. 4. p. 739. b.

Ὅταν δὲ συστῇ τὸ κύημα ἤδη παραπλήσιον ποιεῖ τοῖς σπειρομένοις. ἡ μὲν γὰρ ἀρχὴ καὶ ἐν τοῖς σπέρμασιν ἐν αὐτοῖς[1] *ἐστιν ἡ πρώτη· ὅταν δ' αὕτη*[2] *ἀποκριθῇ ἐνοῦσα δυνάμει πρότερον ἀπὸ ταύτης ἀφίεται ὅ τε βλαστὸς καὶ ἡ ῥίζα· αὕτη δ' ἐστὶν ᾗ τὴν τροφὴν λαμβάνει· δεῖται γὰρ αὐξήσεως τὸ φυτόν. οὕτω καὶ ἐν τῷ κυήματι τρόπον τινὰ πάν-*

Digitized by Google

των ἐνόντων τῶν μορίων δυνάμει ἡ ἀρχὴ πρὸ ὁδοῦ μάλιστα ἐνυπάρχει. διὸ ἀποκρίνεται πρότερον ἡ καρδία ἐνεργείᾳ.

1) ἑαυτοῖς SY Ald. Cam. Er. Philop. 2) αὐτῇ edd. eaed.

§ 141.

Pars seminis albuminosa plantae germinanti primum praebet alimentum.

Ἀπορήσειε δ' ἄν τις, εἰ τὸ αἷμα μὲν τροφή ἐστιν [1] ἡ δὲ καρδία πρώτη γίνεται ἔναιμος οὖσα, τὸ δ' αἷμα τροφὴ ἡ δὲ τροφὴ θύραθεν, πόθεν εἰςῆλθεν ἡ πρώτη τροφή; ἢ τοῦτ' οὐκ ἀληθὲς ὡς πᾶσα θύραθεν, ἀλλ' εὐθὺς, ὥςπερ ἐν τοῖς τῶν φυτῶν σπέρμασιν ἔνεστί τι τοιοῦτον τὸ φαινόμενον γαλακτῶδες οὕτω καὶ ἐν τῇ ὕλῃ τῶν ζώων τὸ περίττωμα τῆς συστάσεως τροφή ἐστιν. ἡ μὲν οὖν αὔξησις τῷ κυήματι γίνεται διὰ τοῦ ὀμφαλοῦ τὸν αὐτὸν τρόπον ὅνπερ διὰ τῶν ῥιζῶν τοῖς φυτοῖς καὶ τοῖς ζώοις αὐτοῖς, ὅταν ἀπολυθῶσιν ἐκ τῆς ἐν αὐτοῖς τραφῆς. Gener. Anim. II. c. 4. p. 740. b.

1) ἐστι τροφὴ Ald. Cam. Er. Phil. — Quod ad sententiam attinet verba τὸ αἷμα τροφή bis posita offendunt; ita interpunxi ut utroque loco ad comma insequens referenda cumque eo coniungenda sint; possis vero vel priore vel altero loco salvo sensu iis carere. Scripti et impressi omnes in lectione consentiunt. Gaza vero priore, Philóponus altero loco non legisse videtur. Hunc fere sic habuisse e commentario colligas: εἰ τὸ αἷμα μὲν τροφή ἐστι ἡ δὲ καρδία πρώτη γίνεται ἔναιμος οὖσα ἡ δε τροφὴ θύραθεν, πόθεν q. sq.

§ 142.

Quomodo e semine partes formentur.

Περὶ ὧν ἔστιν ἀπορία πλείων, πῶς γίνεται ἐκ τοῦ σπέρματος τὸ φυτὸν [1] ἢ τῶν ζώων ὁτιοῦν. ἀνάγκη γὰρ τὸ γινόμενον καὶ ἔκ τινος γίνεσθαι καὶ ὑπό τινος καὶ τί. ἐξ οὗ μὲν οὖν ἐστὶν [2] ὕλη.... ζητεῖται δὲ νῦν οὐκ ἐξ οὗ ἀλλ' ὑφ' οὗ γίνεται τὰ Gener. Anim. II. c. 1. p. 733. b. sq.

Digitized by Google

μόρια. ἤτοι γὰρ τῶν ἔξωθεν τι ποιεῖ [3]) ἢ ἐνυπάρχει τι [4]) ἐν τῇ γονῇ καὶ σπέρματι [5]). καὶ τοῦτ᾽ ἐστὶν ἢ μέρος τι ψυχῆς ἢ ψυχὴ ἢ ἔχον ἂν εἴη ψυχήν. τῶν [6]) μὲν οὖν ἔξωθέν τι ποιεῖν [7]) ἕκαστον ἢ τῶν σπλάγχνων ἢ τῶν ἄλλων μερῶν ἄλογον ἂν δόξειεν. κινεῖν τε γὰρ μὴ ἁπτόμενον ἀδύνατον καὶ μὴ κινοῦντος πάσχειν τι ὑπὸ τούτου. ἐν αὐτῷ [8]) ἄρα τῷ κυήματι ἐνυπάρχει [9]) τι ἢ δὴ αὐτοῦ μόριον ἢ κεχωρισμένον. τὸ μὲν οὖν ἄλλο τι εἶναι κεχωρισμένον ἄλογον. γεννηθέντος γὰρ τοῦ ζώου [10]) πότερον φθείρεται ἢ ἐμμένει; ἀλλ᾽ οὐδὲν τοιοῦτον φαίνεται ἐνὸν ὃ οὐ μόριον τοῦ ὅλου ἢ φυτοῦ ἢ ζώου ἐστίν. ἀλλὰ μὴν καὶ τὸ φθείρεσθαί γε ποιῆσαν εἴτε πάντα τὰ μέρη εἴτε τινὰ ἄτοπον. τὰ λοιπὰ γὰρ τί [11]) ποιήσει; εἰ γὰρ ἐκεῖνο μὲν τὴν καρδίαν εἶτ᾽ ἐφθάρη, αὕτη [12]) δ᾽ ἕτερον, τοῦ αὐτοῦ λόγου ἢ πάντα φθείρεσθαι ἢ πάντα μένειν. σώζεται ἄρα. αὐτοῦ ἄρα μόριόν ἐστιν ὃ εὐθὺς ἐνυπάρχει ἐν τῷ σπέρματι. εἰ δὲ δὴ [13]) μή ἐστι τῆς ψυχῆς μηδὲν ὃ μὴ τοῦ σώματός ἐστιν ἔν τινι μορίῳ καὶ [14]) ἔμψυχον ἄν τι [15]) εἴη μόριον εὐθύς. τὰ οὖν ἄλλα πῶς; ἢ γάρ τοι ἅμα πάντα γίνεται τὰ μόρια οἷον καρδία πλεύμων ἧπαρ ὀφθαλμὸς καὶ τῶν ἄλλων ἕκαστον, ἢ ἐφεξῆς. . . . ὅτι μὲν οὖν οὐχ ἅμα [16]) καὶ τῇ αἰσθήσει ἐστὶ φανερόν. . . . ἐπεὶ δὲ τὸ μὲν πρότερον τὸ δὲ ὕστερον πότερον θάτερον ποιεῖ θάτερον καὶ ἔστι διὰ τὸ ἐχόμενον ἢ μᾶλλον μετὰ τόδε γίνεται τόδε; . . . λόγος δὲ τούτου ὅτι ὑπὸ τοῦ [17]) ἐντελεχείᾳ ὄντος τὸ δυνάμει ὂν γίνεται ἐν τοῖς φύσει ἢ τέχνῃ γινομένοις, ὥστε δέοι ἂν [18]) τὸ εἶδος καὶ τὴν μορφὴν ἐν ἐκείνῳ εἶναι οἷον ἐν τῇ καρδίᾳ τὸ τοῦ ἥπατος. . . . ὅσα φύσει γίνεται ἢ τέχνῃ ὑπ᾽ ἐνεργείᾳ ὄντος γίνεται ἐκ τοῦ δυνάμει [19]) τοιούτου. τὸ μὲν οὖν σπέρμα τοιοῦτον καὶ ἔχει κίνησιν καὶ ἀρχὴν τοιαύτην ὥστε παυομένης τῆς κινήσεως γίνεσθαι ἕκαστον τῶν μορίων καὶ ἔμψυχον. . . . σκληρὰ μὲν οὖν καὶ μαλακὰ

Digitized by Google

καὶ γλίσχρα καὶ κραῦρα καὶ ὅσα ἄλλα[20] πάθη ὑπάρχει τοῖς ἐμψύχοις μορίοις θερμότης καὶ ψυχρότης ποιήσειεν ἄν, τὸν δὲ λόγον ᾧ ἤδη τὸ μὲν σάρξ τὸ δ' ὀστοῦν οὐκέτι ἀλλ' ἡ κίνησις ἡ ἀπὸ τοῦ γεννήσαντος τοῦ ἐντελεχείᾳ ὄντος ὅ ἐστι δυνάμει ἡ[21] ἐξ οὗ γίνεται, ὥςπερ καὶ ἐπὶ τῶν γινομένων κατὰ τέχνην.... ἡ γὰρ τέχνη ἀρχὴ καὶ[22] εἶδος τοῦ γινομένου ἀλλ' ἐν ἑτέρῳ. ἡ δὲ τῆς φύσεως κίνησις ἐν αὐτῷ[23] ἀφ' ἑτέρας οὖσα φύσεως τῆς ἐχούσης τὸ εἶδος ἐνεργείᾳ. πότερον δ' ἔχει ψυχὴν τὸ σπέρμα[24] ἢ οὔ; ὁ αὐτὸς λόγος καὶ περὶ τῶν μορίων. οὔτε γὰρ ψυχὴ ἐν ἄλλῳ οὐδεμία ἔσται πλὴν[25] ἐν ἐκείνῳ οὗ γ'[26] ἐστίν, οὔτε μόριον ἔσται μὴ μετέχον ἀλλ' ἢ ὁμωνύμως ὥςπερ τεθνεῶτος ὀφθαλμός. δῆλον οὖν ὅτι καὶ ἔχει καὶ ἔστι δυνάμει.... ταύτης μὲν οὖν οὐδὲν μόριον αἴτιον τῆς γενέσεως ἀλλὰ τὸ πρῶτον κινῆσαν ἔξωθεν. οὐδὲν γὰρ αὐτὸ ἑαυτὸ γεννᾷ. ὅταν δὲ γένηται αὔξει[27] ἤδη αὐτὸ ἑαυτό. διόπερ πρῶτόν τι γίνεται καὶ οὐχ ἅμα πάντα. τοῦτο δὲ γίνεσθαι ἀνάγκη πρῶτον ὃ αὐξήσεως ἀρχὴν ἔχει.... ὥστ' εἰ ἡ καρδία πρῶτον ἔν τισι ζώοις γίνεται ἐν δὲ τοῖς μὴ ἔχουσι καρδίαν τὸ ταύτῃ[28] ἀνάλογον ἐκ ταύτης ἂν εἴη ἡ ἀρχὴ τοῖς ἔχουσι τοῖς δ' ἄλλοις ἐκ τοῦ ἀνάλογον.

1) τῶν φυτῶν Z. 2) ἡ ins. SY. 3) om. P. 4) om. PSY Ald. Cam. Er. Philop. 5) σπέρμα τι Cam. Philop. 6) τὸ PY Ald. Cam. Er. Phil. in cont. 7) Edd. eaed.; e commentario colligas Philoponum habuisse: τὸ μὲν οὖν ἔξωθεν εἶναι τὸ ποιοῦν. 8) ἑαυτῷ Ald. Cam. Er. Philop. in cont., sed in comm. αὐτῷ. 9) ἐνυπάρχειν iid. 10) γεννηθέντων γὰρ τῶν ζώων iid.; Phil. comm. habet Singularem. 11) γάρ τι Ald. Cam. Phil. in cont.; in comm. τί. 12) αὐτὴ Ald. Cam. Er. Phil. 13) om. S. Cam. 14) om. P. 15) om. P. 16) καὶ τῷ λόγῳ inser. Ald. Cam. Er. Phil. cont. et comm. Codd. et Gaza non habent; sunt glossatoris qui aliunde ea adscivit, sed h. l. non apta. 17) ἐν ins. Ald. Cam. Er. 18) om. PSY Ald. Cam. Er. Philop. 19) ὄντος ins. P. 20) τοιαῦτα ins. P. 21) τὸ Y, om. P. 22) τὸ

Digitized by Google

